καὶ ποταμοὶ οὐ συγκλύσουσιν αὐτήν·
ἐὰν δῷ ἀνὴρ τὸν πάντα βίον αὐτοῦ ἐν τῇ ἀγάπῃ,
ἐξουδενώσει ἐξουδενώσουσιν αὐτόν.
8 Ἀδελφὴ ἡμῖν μικρὰ καὶ μαστοὺς οὐκ ἔχει·
τί ποιήσωμεν τῇ ἀδελφῇ ἡμῶν
ἐν ἡμέρᾳ, ᾗ ἐὰν λαληθῇ ἐν αὐτῇ;
9 εἰ τεῖχός ἐστιν, οἰκοδομήσωμεν ἐπ᾽ αὐτὴν ἐπάλξεις ἀργυρᾶς·
καὶ εἰ θύρα ἐστίν, διαγράψωμεν ἐπ᾽ αὐτὴν σανίδα κεδρίνην.
10 Ἐγὼ τεῖχος, καὶ μαστοί μου ὡς πύργοι·
ἐγὼ ἤμην ἐν ὀφθαλμοῖς αὐτοῦ ὡς εὑρίσκουσα εἰρήνην.
11 Ἀμπελὼν ἐγενήθη τῷ Σαλωμων ἐν Βεελαμων·
ἔδωκεν τὸν ἀμπελῶνα αὐτοῦ τοῖς τηροῦσιν,
ἀνὴρ οἴσει ἐν καρπῷ αὐτοῦ χιλίους ἀργυρίου.
12 ἀμπελών μου ἐμὸς ἐνώπιόν μου·
οἱ χίλιοι σοί, Σαλωμων, καὶ οἱ διακόσιοι
τοῖς τηροῦσι τὸν καρπὸν αὐτοῦ.
13 Ὁ καθήμενος ἐν κήποις,
ἑταῖροι προσέχοντες τῇ φωνῇ σου· ἀκούτισόν με.
14 Φύγε, ἀδελφιδέ μου, καὶ ὁμοιώθητι τῇ δορκάδι
ἢ τῷ νεβρῷ τῶν ἐλάφων ἐπὶ ὄρη ἀρωμάτων.

$7^2$ συνκλ(ε)ισουσιν A† || $8^1$ ημιν B*S*†] ημων rel. || $10^1$ μαστοι] pr. οι S | ως > B† | $10^2$ αυτων B† | ως > A | ειρηνην] χαριν S† || $11^1$ εγενηθην A† | βεελλαμων S†, βεεθλαμων B† | $11^3$ > A† | αργυριου] -ριους αυτου S*† || $12^2$ σοι Vpau.] > BA: excidit post -ιοι; τω S | διακ.] δισχιλιοι S*† || $13^2$ την φωνην S (την φ. σου ακουτ. με est stichus in S: item in A τη φωνη retinente) || $14^1$ φευγε A† | μου > S*† | $14^2$ τω > A | των > S*A | ορη] pr. τα SA | αρωμ.] κοιλωματων S*A†: ex 2 17
Subscr. ασμα B, ασμα ασματων SA: cf. inscr.

**Corollarium.**

Ad finem libri noto distinctiones actorum in A et S (non in B): 1) A addit η νυμφη ante 1 $2^1$ $5^1$ $16^1$ 2 $17^2$ 4 $16^1$ 5 $3^1$ 6 $10^1$, ο νυμφιος ante 1 $3^3$ $12^2$ 2 $10^2$ 3 $6^1$ 5 $1^1$ 6 $4^1$ 8 $5^3$. — 2) S praebet in media columna has inscriptiones: 1 $2^1$ η νυμφη, $4^3$ ταις νεανισιν η νυμφη διηγειται τα περι του νυμφιου α εχαρισατο αυτη, $4^4$ της νυμφης διηγησαμενης ταις νεανισιν αιδε ειπαν, $4^6$ αι νεανιδες τω νυμφιω βοωσιν το ονομα της νυμφης ευθυτης ηγαπησεν σε (sic), $5^1$ η νυμφη, $7^1$ προς τον νυμφιον χριστον, $8^1$ ο νυμφιος προς την νυμφην, $10^1$ αι νεανιδες προς την νυμφην, $12^2$ η νυμφη προς εαυτην και προς τον νυμφιον, $15^1$ ο νυμφιος προς την νυμφην, $16^1$ η νυμφη προς τον νυμφιον, 2 $1^1$ ο νυμφιος προς εαυτον, $2^1$ και προς την νυμφην, $3^1$ η νυμφη προς τον νυμφιον, $4^1$ ταις νεανισιν η νυμφη φησιν, $6^1$ προς τον νυμφιον η νυμφη, $7^1$ ταις νεανισιν η νυμφη, $8^1$ ακηκοεν του νυμφιου η νυμφη, $9^3$ η νυμφη προς τας νεανιδας σημαινουσα αυταις τον νυμφιον, $15^1$ τοις νεανιαις ο νυμφιος ταδε, $16^1$ η νυμφη ταδε, 3 $3^2$ η νυμφη τοις φυλαξιν ειπεν, $4^3$ ευρουσα τον νυμφιον ειπεν, $5^1$ τας νεανιδας ορκιζει η νυμφη τουτο δευτερον (cf. 2 7), $6^1$ ο νυμφιος προς την νυμφην, 4 $16^3$ η νυμφη αιτειται τον πατερα ινα καταβη ο νυμφιος αυτου(sic), 5 $1^1$ ο νυμφιος προς την νυμφην, $1^5$ τοις πλησιον ο νυμφιος, $2^2$ η νυμφη εσθετε(i.e. αισθεται, cf. Thack. p. 259) τον νυμφιον κρουοντα επι την θυραν, $2^3$ ο νυμφιος, $3^1$ η νυμφη ταδε, $9^1$ αι θυγατερες ιερουσαλημ και οι φυλακες των τ(ε)ιχεων πυνθανονται της νυμφης, $10^1$ η νυμφη σημαιν(ε)ι τον αδελφιδον οποιος εστιν, 6 $1^1$ πυνθανονται της νυμφης αι θυγατερες ιερουσαλημ που απηλθεν ο αδελφιδος αυτης, $2^1$ η δε νυμφη αποκρινεται, $4^1$ ο νυμφιος προς την νυμφην, $10^1$ θυγατερες και βασιλισσαι ειδον την νυμφην και εμακαρισαν αυτην, $11^1$ ο νυμφιος προς την νυμφην, $11^4$ η νυμφη ταδε προς τον νυμφιον, 7 $1^1$ ο νυμφιος προς την νυμφην, $1^3$ ταις βασιλισσαις και ταις θυγατρασιν ο νυμφιος ταδε, 8 $5^1$ αι θυγατερες και αι βασιλισσαι και οι του νυμφιου ειπαν, $5^3$ ο νυμφιος ταδε προς την νυμφην, $10^1$ η νυμφη παρρησιαζετε (pro -ται), $13^1$ η νυμφη.



# ΙΩΒ

1 1 Ἄνθρωπός τις ἦν ἐν χώρᾳ τῇ Αυσίτιδι, ᾧ ὄνομα Ιωβ,
καὶ ἦν ὁ ἄνθρωπος ἐκεῖνος ἀληθινός, ἄμεμπτος, δίκαιος, θεοσεβής,
ἀπεχόμενος ἀπὸ παντὸς πονηροῦ πράγματος.
2 ἐγένοντο δὲ αὐτῷ υἱοὶ ἑπτὰ καὶ θυγατέρες τρεῖς.
3 καὶ ἦν τὰ κτήνη αὐτοῦ πρόβατα ἑπτακισχίλια,
κάμηλοι τρισχίλιαι,
ζεύγη βοῶν πεντακόσια,
ὄνοι θήλειαι νομάδες πεντακόσιαι,
καὶ ὑπηρεσία πολλὴ σφόδρα
καὶ ἔργα μεγάλα ἦν αὐτῷ ἐπὶ τῆς γῆς·
καὶ ἦν ὁ ἄνθρωπος ἐκεῖνος εὐγενὴς τῶν ἀφ᾽ ἡλίου ἀνατολῶν.
4 συμπορευόμενοι δὲ οἱ υἱοὶ αὐτοῦ πρὸς ἀλλήλους
ἐποιοῦσαν πότον καθ᾽ ἑκάστην ἡμέραν
συμπαραλαμβάνοντες ἅμα καὶ τὰς τρεῖς ἀδελφὰς αὐτῶν
ἐσθίειν καὶ πίνειν μετ᾽ αὐτῶν.

Iob: BSA; in S multa saeculo septimo correcta sunt, quae multis locis posterior corrector iterum correxit; has posteriores correctiones omitto. praeterea codicis V ab 30 9 incipientis mentionem facio, ubi hic codex cum A solo uel ASc concordat. — O in hoc libro multos stichos olim a 𝔊 atque etiam nunc a Sa absentes ex alio interprete (plerumque θ') suppleuit, quos, cum omnes fere iam in antiquissimis codicibus graecis adsint, in textu retinui, sed exemplaria hexaplaria (Sy, La[ed. Lagarde, cf. inf.], paucos codices graecos, cf. Field) secutus asteriscis adpinctis signaui; cf. Ciasca Bibliorum fragmenta copto-sahidica II Romae 1889), p. XXIII—XXXII et P. de Lagarde Mittheilungen 2 (Gött. 1887), S. 189—237: Des Hieronymus Übertragung der griech. Übersetzung des Iob.
1 $1^1$ τις > A† | $1^2$ αληθ./αμεμπτος δικ.] tr. A: cf. $8^4$ || $3^2$ τρισχιλιοι et $3^4$ πεντακοσιοι A† || $4^1$ οι υιοι/αυτου] tr. S*†

5 καὶ ὡς ἂν συνετελέσθησαν αἱ ἡμέραι τοῦ πότου,
ἀπέστελλεν Ιωβ καὶ ἐκαθάριζεν αὐτοὺς ἀνιστάμενος τὸ πρωὶ
καὶ προσέφερεν περὶ αὐτῶν θυσίας κατὰ τὸν ἀριθμὸν αὐτῶν
καὶ μόσχον ἕνα περὶ ἁμαρτίας περὶ τῶν ψυχῶν αὐτῶν·
ἔλεγεν γὰρ Ιωβ Μήποτε οἱ υἱοί μου ἐν τῇ διανοίᾳ αὐτῶν κακὰ ἐνενόησαν πρὸς θεόν.
οὕτως οὖν ἐποίει Ιωβ πάσας τὰς ἡμέρας.
6 Καὶ ὡς ἐγένετο ἡ ἡμέρα αὕτη,
καὶ ἰδοὺ ἦλθον οἱ ἄγγελοι τοῦ θεοῦ παραστῆναι ἐνώπιον τοῦ κυρίου,
καὶ ὁ διάβολος ἦλθεν μετ᾽ αὐτῶν.
7 καὶ εἶπεν ὁ κύριος τῷ διαβόλῳ Πόθεν παραγέγονας;
καὶ ἀποκριθεὶς ὁ διάβολος τῷ κυρίῳ εἶπεν
Περιελθὼν τὴν γῆν καὶ ἐμπεριπατήσας τὴν ὑπ᾽ οὐρανὸν πάρειμι.
8 καὶ εἶπεν αὐτῷ ὁ κύριος
Προσέσχες τῇ διανοίᾳ σου κατὰ τοῦ παιδός μου Ιωβ,
ὅτι οὐκ ἔστιν κατ᾽ αὐτὸν τῶν ἐπὶ τῆς γῆς
ἄνθρωπος ἄμεμπτος, ἀληθινός, θεοσεβής,
ἀπεχόμενος ἀπὸ παντὸς πονηροῦ πράγματος;
9 ἀπεκρίθη δὲ ὁ διάβολος καὶ εἶπεν ἐναντίον τοῦ κυρίου
Μὴ δωρεὰν σέβεται Ιωβ τὸν θεόν;
10 οὐ σὺ περιέφραξας τὰ ἔξω αὐτοῦ καὶ τὰ ἔσω τῆς οἰκίας αὐτοῦ
καὶ τὰ ἔξω πάντων τῶν ὄντων αὐτῷ κύκλῳ;
τὰ ἔργα τῶν χειρῶν αὐτοῦ εὐλόγησας
καὶ τὰ κτήνη αὐτοῦ πολλὰ ἐποίησας ἐπὶ τῆς γῆς.
11 ἀλλὰ ἀπόστειλον τὴν χεῖρά σου καὶ ἅψαι πάντων, ὧν ἔχει·
εἰ μὴν εἰς πρόσωπόν σε εὐλογήσει.
12 τότε εἶπεν ὁ κύριος τῷ διαβόλῳ
Ἰδοὺ πάντα, ὅσα ἔστιν αὐτῷ, δίδωμι ἐν τῇ χειρί σου,

$5^{2}$ απεστειλεν A | $5^{3}$ και — θυσιας] προσεφερεν τε θυσιας περι αυτων A† | θυσιαν BS*† | αριθμον] καθαρισμον S*† | $5^{4}$ περι ult.] υπερ A | $5^{5}$ διανοια] καρδια A | θεον] pr. τον SA | $5^{6}$ ουν > A | ιωβ > A† | fin.] + αυτων A || $6^{1}$ ως εγεν.] tr. A | $6^{2}$ ιδου > A | κυριου] θεου S*† | $6^{3}$ fin.] + περιελθων την γην και εμπεριπατησας την υπ ουρανον A†: ex 7; + περιελθων την γην και εμπεριπατησας εν αυτη codex unus codici A cognatus et Sa†: haec laudat Orig. epist. ad Iul. Afric. c. 3 inter ea, quae „ἀλλα ... εὕρομεν ... ἐν τοῖς ἡμετέροις ἀντιγράφοις ἢ ἐν τοῖς παρὰ Ιουδαίοις“ || $7^{1}$ τω διαβ.] προς τον διαβολον A† || $8^{1}$ κυριος] θεος A† | $8^{2}$ παιδος] θεραποντος A: cf. 42 $8^{2}$ | $8^{3}$ κατ αυτον] ανθρωπος ομοιος αυτω A†: cf. 2 3 | της > S† | $8^{4}$ αμεμπτος] + δικαιος ASc: ex 1 || $9^{1}$ και ειπεν > A† | εναντι S | του > A† | $9^{2}$ σεβεται ιωβ] tr. A | θεον] κυριον BS || $10^{1}$ τα εξω / αυτου] tr. A | $10^{2}$ εξω] εξωθεν A† | αυτω] -του S: cf. 12 | κυκλοθεν A | $10^{3}$ τα] + δε A† || $11^{2}$ σε] σου S* || $12^{1}$ τοτε] και A† | $12^{2}$ αυτω] -του S*†: cf. 10 | διδωμι εν τη χειρι σου] εν τ. χ. σ. δεδωκα A†



ἀλλὰ αὐτοῦ μὴ ἅψῃ.
καὶ ἐξῆλθεν ὁ διάβολος παρὰ τοῦ κυρίου.
13 Καὶ ἦν ὡς ἡ ἡμέρα αὕτη,
οἱ υἱοὶ Ιωβ καὶ αἱ θυγατέρες αὐτοῦ
ἔπινον οἶνον ἐν τῇ οἰκίᾳ τοῦ ἀδελφοῦ αὐτῶν τοῦ πρεσβυτέρου.
14 καὶ ἰδοὺ ἄγγελος ἦλθεν πρὸς Ιωβ καὶ εἶπεν αὐτῷ
Τὰ ζεύγη τῶν βοῶν ἠροτρία,
καὶ αἱ θήλειαι ὄνοι ἐβόσκοντο ἐχόμεναι αὐτῶν·
15 καὶ ἐλθόντες οἱ αἰχμαλωτεύοντες ᾐχμαλώτευσαν αὐτὰς
καὶ τοὺς παῖδας ἀπέκτειναν ἐν μαχαίραις·
σωθεὶς δὲ ἐγὼ μόνος ἦλθον τοῦ ἀπαγγεῖλαί σοι.
16 Ἔτι τούτου λαλοῦντος ἦλθεν ἕτερος ἄγγελος καὶ εἶπεν πρὸς Ιωβ
Πῦρ ἔπεσεν ἐκ τοῦ οὐρανοῦ καὶ κατέκαυσεν τὰ πρόβατα καὶ τοὺς ποιμένας κατέφαγεν ὁμοίως·
καὶ σωθεὶς ἐγὼ μόνος ἦλθον τοῦ ἀπαγγεῖλαί σοι.
17 Ἔτι τούτου λαλοῦντος ἦλθεν ἕτερος ἄγγελος καὶ εἶπεν πρὸς Ιωβ
Οἱ ἱππεῖς ἐποίησαν ἡμῖν κεφαλὰς τρεῖς
καὶ ἐκύκλωσαν τὰς καμήλους καὶ ᾐχμαλώτευσαν αὐτὰς
καὶ τοὺς παῖδας ἀπέκτειναν ἐν μαχαίραις·
ἐσώθην δὲ ἐγὼ μόνος καὶ ἦλθον τοῦ ἀπαγγεῖλαί σοι.
18 Ἔτι τούτου λαλοῦντος ἄλλος ἄγγελος ἔρχεται λέγων τῷ Ιωβ
Τῶν υἱῶν σου καὶ τῶν θυγατέρων σου ἐσθιόντων καὶ πινόντων παρὰ τῷ ἀδελφῷ αὐτῶν τῷ πρεσβυτέρῳ
19 ἐξαίφνης πνεῦμα μέγα ἐπῆλθεν ἐκ τῆς ἐρήμου καὶ ἥψατο τῶν τεσσάρων γωνιῶν τῆς οἰκίας,
καὶ ἔπεσεν ἡ οἰκία ἐπὶ τὰ παιδία σου, καὶ ἐτελεύτησαν·
ἐσώθην δὲ ἐγὼ μόνος καὶ ἦλθον τοῦ ἀπαγγεῖλαί σοι.

$12^{4}$ παρα του κυριου] απο προσωπου κυρ. A || $13^{1}$ ην] εγενετο A | η > S*† | $13^{2}$] pr. και A | ιωβ] pr. του A† | αυτου > S*† | $13^{3}$] pr. ησθιον και ASc (in O sub ※) || $15^{1}$ αιχμαλωτευοντες] -τευσαντες S† | αυτους A† | $15^{2}$ απεκτ. εν μαχαιραις] επαταξαν εν στοματι μαχαιρας A(†) | $15^{3}$ σωθεις δε ... ηλθον] και εσωθην ... και ηλθον A: cf. $16^{3}$ $17^{5}$ $19^{3}$ et 3 12 || $16^{1}$ και ειπεν προς ιωβ] προς ιωβ και ειπεν αυτω A(†) | $16^{2}$ ουρανου] + επι την γην A | κατεκαυσεν ... κατεφαγεν] tr. A | κατεφαγεν] κατεφλεξεν S*† | $16^{3}$ και σωθεις] σωθεις δε B†: ex $15^{3}$ | σωθεις ... ηλθον] εσωθην ... και ηλθον A†: cf. $15^{3}$ || $17^{1}$ ηλθεν — ιωβ] ετερος αγγελος ερχεται προς ιωβ και λεγει αυτω A(†) | προς ιωβ > S*† | $17^{2}$ κεφαλας] αρχας ASc | $17^{4}$ απεκτ.] απωλεσαν S*† | εν > B | $17^{5}$ εσωθην δε] και εσωθην A†: cf. $15^{3}$ || $18^{1}$ αλλος αγγ. ερχεται] ερχ. ετερος αγγ. S† | λεγων τω ιωβ] προς ιωβ λεγων A | $18^{2}$ τω αδελφω αυτων] pr. του(pro τω) υιω σου A† || $19^{1}$ επηλθεν] > S*†, ηλθεν A† | εκ] απο A† | $19^{3}$ εσωθην δε] και εσωθην A†: cf. $15^{3}$

20 Οὕτως ἀναστὰς Ιωβ διέρρηξεν τὰ ἱμάτια αὐτοῦ
καὶ ἐκείρατο τὴν κόμην τῆς κεφαλῆς αὐτοῦ
καὶ πεσὼν χαμαὶ προσεκύνησεν καὶ εἶπεν
21 Αὐτὸς γυμνὸς ἐξῆλθον ἐκ κοιλίας μητρός μου,
γυμνὸς καὶ ἀπελεύσομαι ἐκεῖ·
ὁ κύριος ἔδωκεν, ὁ κύριος ἀφείλατο·
ὡς τῷ κυρίῳ ἔδοξεν, οὕτως καὶ ἐγένετο·
εἴη τὸ ὄνομα κυρίου εὐλογημένον.
22 Ἐν τούτοις πᾶσιν τοῖς συμβεβηκόσιν αὐτῷ
οὐδὲν ἥμαρτεν Ιωβ ἐναντίον τοῦ κυρίου
καὶ οὐκ ἔδωκεν ἀφροσύνην τῷ θεῷ.
2 1 Ἐγένετο δὲ ὡς ἡ ἡμέρα αὕτη
καὶ ἦλθον οἱ ἄγγελοι τοῦ θεοῦ παραστῆναι ἔναντι κυρίου,
καὶ ὁ διάβολος ἦλθεν ἐν μέσῳ αὐτῶν
※παραστῆναι ἐναντίον τοῦ κυρίου.↙
2 καὶ εἶπεν ὁ κύριος τῷ διαβόλῳ Πόθεν σὺ ἔρχῃ;
τότε εἶπεν ὁ διάβολος ἐνώπιον τοῦ κυρίου
Διαπορευθεὶς τὴν ὑπ' οὐρανὸν καὶ ἐμπεριπατήσας τὴν σύμπασαν πάρειμι.
3 εἶπεν δὲ ὁ κύριος πρὸς τὸν διάβολον
Προσέσχες οὖν τῷ θεράποντί μου Ιωβ,
ὅτι οὐκ ἔστιν κατ' αὐτὸν τῶν ἐπὶ τῆς γῆς
ἄνθρωπος ἄκακος, ἀληθινός, ἄμεμπτος, θεοσεβής,
ἀπεχόμενος ἀπὸ παντὸς κακοῦ;
ἔτι δὲ ἔχεται ἀκακίας·
σὺ δὲ εἶπας τὰ ὑπάρχοντα αὐτοῦ διὰ κενῆς ἀπολέσαι.
4 ὑπολαβὼν δὲ ὁ διάβολος εἶπεν τῷ κυρίῳ
Δέρμα ὑπὲρ δέρματος·
ὅσα ὑπάρχει ἀνθρώπῳ, ὑπὲρ τῆς ψυχῆς αὐτοῦ ἐκτείσει·
5 οὐ μὴν δὲ ἀλλὰ ἀποστείλας τὴν χεῖρά σου ἅψαι τῶν ὀστῶν αὐτοῦ καὶ τῶν σαρκῶν αὐτοῦ·

20¹ init. — ιωβ] ουτως ακουσας ιωβ αναστας A | αυτου] εαυ. B† | 20² αυτου] > BS*†; + και κατεπασατο γην επι της κεφαλης αυτου A(†): ex 2 12 | 20³ προσεκυν.] + τω κυριω ASc | και ειπεν ad 21 trahit 𝔐 || 21⁴ και > BS*† | 21⁵ fin.] + εις τους αιωνας A || 22² ουδεν ημ. ιωβ] ουχ ημ. ιωβ ουδεν A† | εναντι SA† | του > A | 22² fin.] + ουδε εν τοις χ(ε)ιλεσιν αυτου A: ex 2 10
2 1² εναντι B†] -τιον Spl., ενωπιον A | κυριου BA†] pr. του rel. | 1³ ηλθεν / εν μεσω αυτων] tr. A† | 1⁴ > S* | εναντι A | του > A† || 2² ενωπιον] εναντι A | του > A | 2³ συμπασαν] γην A || 3¹ διαβολον] σαταναν A† (Sy ※προς τον σατ. pro προς τον διαβ.) | 3⁴ ανθρ.] + ομοιος αυτω A: cf. 1 8 | ακακ. αληθ. αμεμπτ.] αμεμπτος δικαιος αληθεινος A(†): cf. 1 8 | 3⁷ δια κενης / απολεσαι] tr. A || 4³ οσα] pr. παντα S*, pr. και παντα ASc | ανθρωπω] pr. τω A | υπερ τ. ψ. αυ. εκτεισει] δωσει υπερ τ. ψ. αυ. A(†)



εἰ μὴν εἰς πρόσωπόν σε εὐλογήσει.
6 εἶπεν δὲ ὁ κύριος τῷ διαβόλῳ Ἰδοὺ παραδίδωμί σοι αὐτόν,
μόνον τὴν ψυχὴν αὐτοῦ διαφύλαξον.
7 Ἐξῆλθεν δὲ ὁ διάβολος ἀπὸ τοῦ κυρίου
καὶ ἔπαισεν τὸν Ιωβ ἕλκει πονηρῷ ἀπὸ ποδῶν ἕως κεφαλῆς.
8 καὶ ἔλαβεν ὄστρακον, ἵνα τὸν ἰχῶρα ξύῃ,
καὶ ἐκάθητο ἐπὶ τῆς κοπρίας ἔξω τῆς πόλεως.
9 Χρόνου δὲ πολλοῦ προβεβηκότος εἶπεν αὐτῷ ἡ γυνὴ αὐτοῦ
Μέχρι τίνος καρτερήσεις λέγων
9a Ἰδοὺ ἀναμένω χρόνον ἔτι μικρὸν
προσδεχόμενος τὴν ἐλπίδα τῆς σωτηρίας μου;
9b ἰδοὺ γὰρ ἠφάνισταί σου τὸ μνημόσυνον ἀπὸ τῆς γῆς,
υἱοὶ καὶ θυγατέρες, ἐμῆς κοιλίας ὠδῖνες καὶ πόνοι,
οὓς εἰς τὸ κενὸν ἐκοπίασα μετὰ μόχθων.
9c σύ τε αὐτὸς ἐν σαπρίᾳ σκωλήκων κάθησαι διανυκτερεύων αἴθριος·
9d κἀγὼ πλανῆτις καὶ λάτρις
τόπον ἐκ τόπου περιερχομένη καὶ οἰκίαν ἐξ οἰκίας
προσδεχομένη τὸν ἥλιον πότε δύσεται,
ἵνα ἀναπαύσωμαι τῶν μόχθων καὶ τῶν ὀδυνῶν, αἵ με νῦν συνέχουσιν.
9e ἀλλὰ εἰπόν τι ῥῆμα εἰς κύριον καὶ τελεύτα.
10 ὁ δὲ ἐμβλέψας εἶπεν αὐτῇ
Ὥσπερ μία τῶν ἀφρόνων γυναικῶν ἐλάλησας·
εἰ τὰ ἀγαθὰ ἐδεξάμεθα ἐκ χειρὸς κυρίου, τὰ κακὰ οὐχ ὑποίσομεν;
ἐν πᾶσιν τούτοις τοῖς συμβεβηκόσιν αὐτῷ
οὐδὲν ἥμαρτεν Ιωβ τοῖς χείλεσιν ἐναντίον τοῦ θεοῦ.
11 Ἀκούσαντες δὲ οἱ τρεῖς φίλοι αὐτοῦ τὰ κακὰ πάντα τὰ ἐπελθόντα αὐτῷ
παρεγένοντο ἕκαστος ἐκ τῆς ἰδίας χώρας πρὸς αὐτόν,

5² μην (cf. 1 11²)] μη A† || 6² μονον ad 6¹ trahit S† | την] + δε S*† | διαφυλ.] διατηρησον A || 7¹ απο] παρα A | 7² εως] μεχρι Sc || 8¹ ελαβεν] + ιωβ A | τον ιχ. ξυη] αποξεη(cf. 7 5) τον ιχ. αυτου A (αυτου in O sub ※) | 8² εκαθητο BS*†] pr. αυτος rel. (in O sub ※) || 9¹ αυτω] τω ιωβ A || 9a¹ αναμενω > S*† | 9a² μου] αυτου S*† || 9b¹ σου / το μνημ.] tr. A† | 9b² υιοι] + σου A | εμης] pr. της A || 9c τε] δε A | καθησαι > S*† || 9d¹ πλανητις] -νωμενη BS*† | 9d² περιερχ.] > BS*†, suppleuit Sc† in fine stichi | 9d³ δυσεται] -ση A(†) | 9d⁴ μοχθων] + μου B | των 2⁰] + περιεχουσων με A || 9e (= 𝔐 9²) εις] προς A || 10² pr. ινα τι A | ελαλ.] pr. ουτως A | 10³ τα 1⁰] + μεν A† | τα 2⁰] + δε A† | 10⁴ πασιν τουτοις] tr. A | 10⁵ init. — χειλ.] ουχ ημαρτεν ιωβ ουδε εν τοις χ(ε)ιλεσιν αυτου A† (αυτου in O sub ※) || 11² παρεγενετο S† | χωρας] πολεως A† | αυτον] + του παρακαλεσαι και επισκεψασθε(pro -θαι) αυτον A(†): ex 11⁷

Ελιφας ὁ Θαιμανων βασιλεύς,
Βαλδαδ ὁ Σαυχαίων τύραννος,
Σωφαρ ὁ Μιναίων βασιλεύς,
καὶ παρεγένοντο πρὸς αὐτὸν ὁμοθυμαδὸν
τοῦ παρακαλέσαι καὶ ἐπισκέψασθαι αὐτόν.
12 ἰδόντες δὲ αὐτὸν πόρρωθεν οὐκ ἐπέγνωσαν
καὶ βοήσαντες φωνῇ μεγάλῃ ἔκλαυσαν
ῥήξαντες ἕκαστος τὴν ἑαυτοῦ στολὴν
καὶ καταπασάμενοι γῆν.
13 παρεκάθισαν αὐτῷ ἑπτὰ ἡμέρας καὶ ἑπτὰ νύκτας,
καὶ οὐδεὶς αὐτῶν ἐλάλησεν·
ἑώρων γὰρ τὴν πληγὴν δεινὴν οὖσαν καὶ μεγάλην σφόδρα.
**3** 1 Μετὰ τοῦτο ἤνοιξεν Ιωβ τὸ στόμα αὐτοῦ
καὶ κατηράσατο τὴν ἡμέραν αὐτοῦ 2 λέγων
3 Ἀπόλοιτο ἡ ἡμέρα, ἐν ᾗ ἐγεννήθην,
καὶ ἡ νύξ, ἐν ᾗ εἶπαν Ἰδοὺ ἄρσεν.
4 ἡ ἡμέρα ἐκείνη εἴη σκότος,
καὶ μὴ ἀναζητήσαι αὐτὴν ὁ κύριος ἄνωθεν,
μηδὲ ἔλθοι εἰς αὐτὴν φέγγος·
5 ἐκλάβοι δὲ αὐτὴν σκότος καὶ σκιὰ θανάτου,
ἐπέλθοι ἐπ᾽ αὐτὴν γνόφος.
6 καταραθείη ἡ ἡμέρα καὶ ἡ νὺξ ἐκείνη,
ἀπενέγκαιτο αὐτὴν σκότος·
μὴ εἴη εἰς ἡμέρας ἐνιαυτοῦ
μηδὲ ἀριθμηθείη εἰς ἡμέρας μηνῶν·
7 ἀλλὰ ἡ νὺξ ἐκείνη εἴη ὀδύνη,
καὶ μὴ ἔλθοι ἐπ᾽ αὐτὴν εὐφροσύνη μηδὲ χαρμονή·
8 ἀλλὰ καταράσαιτο αὐτὴν ὁ καταρώμενος τὴν ἡμέραν ἐκείνην
ὁ μέλλων τὸ μέγα κῆτος χειρώσασθαι.
9 σκοτωθείη τὰ ἄστρα τῆς νυκτὸς ἐκείνης,

11[2] ελ(ε)ιφας: sic BS in **4** 1 **22** 1, BA in **42** 17e, B in **15** 1 **42** 7.9; sed -φαζ BSA hoc loco, SA in **15** 1 **42** 7.9, S in **42** 17e, A in **4** 1 **22** 1 et in additamento ad **42** 17e; cf. Gen. **36** 4—16 Par. I **1** 35.36 | 11[4] βαλδας A†: item A† in **18** 1, AV† in **42** 17e, sed in **8** 1 **25** 1 **42** 9 etiam A βαλδαδ | σαυχαιων] σ > A†: cf. **18** 1 | 11[5]] pr. και A | 11[6] προς αυτον / ομοθυμ.] tr. A† | 11[7] του > S*† || 12[3] ρηξαντες] + δε A† (trahit 12[3.4] ad 13) | 12[4]] + επι τας κεφαλας αυτων A pl. (in *O* [superaddente εις τον ουρανον] sub ※) || 13[1] παρεκαθηντο A† | επτα 2⁰ > S*† | 13[2] > S† | 13[2] fin.] + προς αυτον λογον A (in *O* sub ※) | 13[3] γαρ > S*† | δεινην ουσαν] tr. S†

3 1[1]] pr. και A | τουτο] ταυτα A† || 2 λεγων] pr. και απεκριθη ιωβ A† (in *O* sub ※) || 3[1] εγεν(ν)ηθην] + εν αυτη A (in *O* sub ※) | 3[2] εν] εκεινη B† || 4[1] ημερα] νυξ BS*pl. || 5[2]] pr. και A† || 6[1.2] > S*† | 6[1] καταρ. η ημ. ad 5 trahit 𝔐 | ημερα] + εκεινη ASs pl. | 6[3] ενιαυτων A† || 7[1] οδυνηρα A



ὑπομεῖναι καὶ εἰς φωτισμὸν μὴ ἔλθοι
καὶ μὴ ἴδοι ἑωσφόρον ἀνατέλλοντα,
10 ὅτι οὐ συνέκλεισεν πύλας γαστρὸς μητρός μου·
ἀπήλλαξεν γὰρ ἂν πόνον ἀπὸ ὀφθαλμῶν μου.
11 διὰ τί γὰρ ἐν κοιλίᾳ οὐκ ἐτελεύτησα,
ἐκ γαστρὸς δὲ ἐξῆλθον καὶ οὐκ εὐθὺς ἀπωλόμην;
12 ἵνα τί δὲ συνήντησάν μοι γόνατα;
ἵνα τί δὲ μαστοὺς ἐθήλασα;
13 νῦν ἂν κοιμηθεὶς ἡσύχασα,
ὑπνώσας δὲ ἀνεπαυσάμην
14 μετὰ βασιλέων βουλευτῶν γῆς,
οἳ ἠγαυριῶντο ἐπὶ ξίφεσιν,
15 ἢ μετὰ ἀρχόντων, ὧν πολὺς ὁ χρυσός,
οἳ ἔπλησαν τοὺς οἴκους αὐτῶν ἀργυρίου,
16 ἢ ὥσπερ ἔκτρωμα ἐκπορευόμενον ἐκ μήτρας μητρὸς
ἢ ὥσπερ νήπιοι, οἳ οὐκ εἶδον φῶς.
17 ἐκεῖ ἀσεβεῖς ἐξέκαυσαν θυμὸν ὀργῆς,
ἐκεῖ ἀνεπαύσαντο κατάκοποι τῷ σώματι·
18 ὁμοθυμαδὸν δὲ οἱ αἰώνιοι
οὐκ ἤκουσαν φωνὴν φορολόγου·
19 μικρὸς καὶ μέγας ἐκεῖ ἐστιν
καὶ θεράπων οὐ δεδοικὼς τὸν κύριον αὐτοῦ.
20 ἵνα τί γὰρ δέδοται τοῖς ἐν πικρίᾳ φῶς,
ζωὴ δὲ ταῖς ἐν ὀδύναις ψυχαῖς;
21 οἳ ὁμείρονται τοῦ θανάτου καὶ οὐ τυγχάνουσιν
ἀνορύσσοντες ὥσπερ θησαυρούς,
22 περιχαρεῖς δὲ ἐγένοντο, ἐὰν κατατύχωσιν.
23 θάνατος ἀνδρὶ ἀνάπαυμα,
συνέκλεισεν γὰρ ὁ θεὸς κατ᾽ αὐτοῦ·
24 πρὸ γὰρ τῶν σίτων μου στεναγμός μοι ἥκει,
δακρύω δὲ ἐγὼ συνεχόμενος φόβῳ·
25 φόβος γάρ, ὃν ἐφρόντισα, ἦλθέν μοι,

9[2] εις φωτισμον (S*† φως) μη ελθοι] μη ελθοι και μη φωτισαι A† | 9[3] και μη] μηδε A† || 10[2] πονον] κοπον A† || 12[1] ινα τι δε] και ινα τι A†: cf. **5** 16[1.2] 20.25 **6** 14[2] **8** 21 **9** 34 **10** 1c. 17 **11** 20 **13** 12.26.27[2] etc. et **1** 15[3] et **11** 8 | συνηντησεν A† | γον.] pr. τα BC† | 12[2] fin.] + μητρος μου A(†) || 14[1] βουλ.] pr. και A† || 15[1] η] και A† || 17[1] εξεκαυσαν] επαυσαν A | 17[2] τω > A† || 18[1] οι αιωνιοι] δι αιωνος ASc† | 18[2] ουκ] + ετι A† || 19[2] ου > BS* || 20[1] πικρια] + ψυχης A || 21[1] ομειρονται (cf. W. Bauer Griech.-Deutsch. Wörterbuch zum N. T. [1928], col. 895)] ιμειρ. Bc | του > A | 21[2] ανορυσσ.] + αυτον ASc† | θησαυρον A† || 22 εγινοντο S*† | fin.] + θανατου A† || 23[1] θαν.] + γαρ A† | αναπαυμα BS*†] -παυσις rel.; + ου η ⟨ο⟩δος απεκρυβη A†, + ου η οδος απεκρ. απ αυτου mu. (in *O* sub ※) | 23[2] θεος] κυριος A || 24[1] μοι > BS† || 25[1] εφροντ.] ευλαβουμην A†

καὶ ὃν ἐδεδοίκειν, συνήντησέν μοι.
26 οὔτε εἰρήνευσα οὔτε ἡσύχασα οὔτε ἀνεπαυσάμην,
ἦλθεν δέ μοι ὀργή.
4 1 Ὑπολαβὼν δὲ Ελιφας ὁ Θαιμανίτης λέγει
2 Μὴ πολλάκις σοι λελάληται ἐν κόπῳ;
ἰσχὺν δὲ ῥημάτων σου τίς ὑποίσει;
3 εἰ γὰρ σὺ ἐνουθέτησας πολλοὺς
καὶ χεῖρας ἀσθενοῦς παρεκάλεσας
4 ἀσθενοῦντάς τε ἐξανέστησας ῥήμασιν
γόνασίν τε ἀδυνατοῦσιν θάρσος περιέθηκας,
5 νῦν δὲ ἥκει ἐπὶ σὲ πόνος καὶ ἥψατό σου, σὺ δὲ ἐσπούδασας.
6 πότερον οὐχ ὁ φόβος σού ἐστιν ἐν ἀφροσύνῃ
καὶ ἡ ἐλπίς σου καὶ ἡ ἀκακία τῆς ὁδοῦ σου;
7 μνήσθητι οὖν τίς καθαρὸς ὢν ἀπώλετο
ἢ πότε ἀληθινοὶ ὁλόρριζοι ἀπώλοντο.
8 καθ᾽ ὃν τρόπον εἶδον τοὺς ἀροτριῶντας τὰ ἄτοπα,
οἱ δὲ σπείροντες αὐτὰ ὀδύνας θεριοῦσιν ἑαυτοῖς.
9 ἀπὸ προστάγματος κυρίου ἀπολοῦνται,
ἀπὸ δὲ πνεύματος ὀργῆς αὐτοῦ ἀφανισθήσονται.
10 σθένος λέοντος, φωνὴ δὲ λεαίνης,
γαυρίαμα δὲ δρακόντων ἐσβέσθη·
11 μυρμηκολέων ὤλετο παρὰ τὸ μὴ ἔχειν βοράν,
σκύμνοι δὲ λεόντων ἔλιπον ἀλλήλους.
12 εἰ δέ τι ῥῆμα ἀληθινὸν ἐγεγόνει ἐν λόγοις σου,
οὐθὲν ἄν σοι τούτων κακὸν ἀπήντησεν.
πότερον οὐ δέξεταί μου τὸ οὖς ἐξαίσια παρ᾽ αὐτοῦ;
13 φόβοι δὲ καὶ ἠχὼ νυκτερινή,
ἐπιπίπτων φόβος ἐπ᾽ ἀνθρώπους,
14 φρίκη δέ μοι συνήντησεν καὶ τρόμος
καὶ μεγάλως μου τὰ ὀστᾶ συνέσεισεν,
15 καὶ πνεῦμα ἐπὶ πρόσωπόν μου ἐπῆλθεν,
ἔφριξαν δέ μου τρίχες καὶ σάρκες.
16 ἀνέστην, καὶ οὐκ ἐπέγνων·
εἶδον, καὶ οὐκ ἦν μορφὴ πρὸ ὀφθαλμῶν μου,
ἀλλ᾽ ἢ αὔραν καὶ φωνὴν ἤκουον

**4** 1 ελιφας: cf. 2 11[3] || 3[2] ασθενουντων A || 4[1.2] τε bis] δε A | 4[3] θαρσος περιεθ.] tr. A† || 5 δε ult. > B | εσπουδακας A || 6[2] ακακια Gra. (cf. 2 3 27 5 31 6)] κακια mss. || 7[1] τις] οτι ουδ⟨ε⟩ις A† || 8[2] εαυτοις] εν αυτοις A† || 10[1] σθενος] στονος Gra. || 12[2] σοι — απηντησεν] τουτων κακων συνηντησεν μοι(sic) A(†) | 12[3] ποτερον] + ουν A | μου το ους] σου το ους μου A† | εξαισια παρ αυτου (13) φοβοι δε] εξεσια, εξεσιοι γαρ παρ αυτου φοβοι A† (sic iuncta) || 13[1] φοβοι A†] -βω BS*†, -βος S[c] | δε > A || 14[1] δε > B† | 14[2] συνεσεισεν] διεσ. B†, συνεπεσεν A*† || 16[1]] pr. και A†



17 Τί γάρ; μὴ καθαρὸς ἔσται βροτὸς ἐναντίον κυρίου
ἢ ἀπὸ τῶν ἔργων αὐτοῦ ἄμεμπτος ἀνήρ;
18 εἰ κατὰ παίδων αὐτοῦ οὐ πιστεύει,
κατὰ δὲ ἀγγέλων αὐτοῦ σκολιόν τι ἐπενόησεν,
19 τοὺς δὲ κατοικοῦντας οἰκίας πηλίνας,
ἐξ ὧν καὶ αὐτοὶ ἐκ τοῦ αὐτοῦ πηλοῦ ἐσμεν,
ἔπαισεν αὐτοὺς σητὸς τρόπον·
20 καὶ ἀπὸ πρωίθεν ἕως ἑσπέρας οὐκέτι εἰσίν,
παρὰ τὸ μὴ δύνασθαι αὐτοὺς ἑαυτοῖς βοηθῆσαι ἀπώλοντο·
21 ἐνεφύσησεν γὰρ αὐτοῖς καὶ ἐξηράνθησαν,
ἀπώλοντο παρὰ τὸ μὴ ἔχειν αὐτοὺς σοφίαν.
5 1 ἐπικάλεσαι δέ, εἴ τίς σοι ὑπακούσεται,
ἢ εἴ τινα ἀγγέλων ἁγίων ὄψῃ.
2 καὶ γὰρ ἄφρονα ἀναιρεῖ ὀργή,
πεπλανημένον δὲ θανατοῖ ζῆλος.
3 ἐγὼ δὲ ἑώρακα ἄφρονας ῥίζαν βάλλοντας,
ἀλλ᾽ εὐθέως ἐβρώθη αὐτῶν ἡ δίαιτα.
4 πόρρω γένοιντο οἱ υἱοὶ αὐτῶν ἀπὸ σωτηρίας,
κολαβρισθείησαν δὲ ἐπὶ θύραις ἡσσόνων, καὶ οὐκ ἔσται ὁ
ἐξαιρούμενος·
5 ἃ γὰρ ἐκεῖνοι συνήγαγον, δίκαιοι ἔδονται,
αὐτοὶ δὲ ἐκ κακῶν οὐκ ἐξαίρετοι ἔσονται,
ἐκσιφωνισθείη αὐτῶν ἡ ἰσχύς.
6 οὐ γὰρ μὴ ἐξέλθῃ ἐκ τῆς γῆς κόπος,
οὐδὲ ἐξ ὀρέων ἀναβλαστήσει πόνος·
7 ἀλλὰ ἄνθρωπος γεννᾶται κόπῳ,
νεοσσοὶ δὲ γυπὸς τὰ ὑψηλὰ πέτονται.
8 οὐ μὴν δὲ ἀλλὰ ἐγὼ δεηθήσομαι κυρίου,
κύριον δὲ τὸν πάντων δεσπότην ἐπικαλέσομαι
9 τὸν ποιοῦντα μεγάλα καὶ ἀνεξιχνίαστα,
ἔνδοξά τε καὶ ἐξαίσια, ὧν οὐκ ἔστιν ἀριθμός·
10 τὸν διδόντα ὑετὸν ἐπὶ τὴν γῆν,
ἀποστέλλοντα ὕδωρ ἐπὶ τὴν ὑπ᾽ οὐρανόν·

17[1] εναντι SA† | κυριου] pr. του B† || 19[1] τους δε] εα δε τους A | 19[2] ων] ου A† | εκ τ. αυ. πηλου / εσμεν] tr. A† || 20[1] και post εσπερας tr. A† | εως] μεχρι B*†, μεχρις B[c]† || 21[1] αυτους S*† | εξηρ.] ετελευτησαν A† | 21[2]] και παρα το μη εχ. αυτ. σοφ. απωλοντο A†

**5** 1[1] σου εισακουσ. A(†) | 1[2] αγγελων αγιων] tr. SA || 3[2] ευθυς A† | εβρωθη αυτων η διαιτα] η δι. αυ. εβρωθη A† || 4[1] εγενοντο A† | αυτου S† | 4[2] σκολαβρ. A† || 5[1] συνηγ.] εθερισαν A† | 5[2] εξαιρετοι εσονται] -ρεθησονται A | 5[3]] pr. και A† || 6[1] της > A† || 7[1] γενναται (+ εν compl.) κοπω] εν κοπω γενν. A† | 7[2] γυπος BS**O*(uid.)†] γυπων AS[c]†, αετων rel. || 8[2] παντων δεσπ.] παντοκρατορα A† || 10[1] της γης A† | 10[2]] pr. τον A†

11 τὸν ποιοῦντα ταπεινοὺς εἰς ὕψος
καὶ ἀπολωλότας ἐξεγείροντα·
12 διαλλάσσοντα βουλὰς πανούργων,
καὶ οὐ μὴ ποιήσουσιν αἱ χεῖρες αὐτῶν ἀληθές.
13 ὁ καταλαμβάνων σοφοὺς ἐν τῇ φρονήσει,
βουλὴν δὲ πολυπλόκων ἐξέστησεν·
14 ἡμέρας συναντήσεται αὐτοῖς σκότος,
τὸ δὲ μεσημβρινὸν ψηλαφήσαισαν ἴσα νυκτί.
15 ἀπόλοιντο δὲ ἐν πολέμῳ,
ἀδύνατος δὲ ἐξέλθοι ἐκ χειρὸς δυνάστου·
16 εἴη δὲ ἀδυνάτῳ ἐλπίς,
ἀδίκου δὲ στόμα ἐμφραχθείη.
17 μακάριος δὲ ἄνθρωπος, ὃν ἤλεγξεν ὁ κύριος·
νουθέτημα δὲ παντοκράτορος μὴ ἀπαναίνου.
18 αὐτὸς γὰρ ἀλγεῖν ποιεῖ καὶ πάλιν ἀποκαθίστησιν·
ἔπαισεν, καὶ αἱ χεῖρες αὐτοῦ ἰάσαντο.
19 ἑξάκις ἐξ ἀναγκῶν σε ἐξελεῖται,
ἐν δὲ τῷ ἑβδόμῳ οὐ μὴ ἅψηταί σου κακόν.
20 ἐν λιμῷ ῥύσεταί σε ἐκ θανάτου,
ἐν πολέμῳ δὲ ἐκ χειρὸς σιδήρου λύσει σε.
21 ἀπὸ μάστιγος γλώσσης σε κρύψει,
καὶ οὐ μὴ φοβηθῇς ἀπὸ κακῶν ἐρχομένων.
22 ἀδίκων καὶ ἀνόμων καταγελάσῃ,
ἀπὸ δὲ θηρίων ἀγρίων οὐ μὴ φοβηθῇς·
23 θῆρες γὰρ ἄγριοι εἰρηνεύσουσίν σοι.
24 εἶτα γνώσῃ ὅτι εἰρηνεύσει σου ὁ οἶκος,
ἡ δὲ δίαιτα τῆς σκηνῆς σου οὐ μὴ ἁμάρτῃ.

12$^1$] pr. τον A† || 13$^1$ fin.] + αυτων A† | 13$^2$ βουλας A† | πολυτροπων S*† || 14$^1$ ημερας] εν -ρα A† | συναντ. αυτοις] tr. A† | 14$^2$ ψηλαφησιαν A† || 16$^1$ ειη δε] και ειη A† | 16$^2$ αδικου δε] και αδ. A†: cf. 3 12 || 17$^1$ fin.] + επι της γης ASc† || 18$^2$ επαισεν] παταξει A† | ιασονται A† || 19$^1$ σε εξελ.] tr. A pl. | 19$^2$ ου μη αψ.] ουχ αψεται A† | αψηται σου] tr. S† || 20$^2$ εν πολ. δε] και εν πολ. A†: cf. 3 12 | λυσει] ρυσεται A† || 21$^1$ σε κρυψει] tr. A† | 21$^2$ ου μη φοβηθης BS†] ου φοβηθηση A†, ου μη -θηση rel.: cf. 22 | ερχομ.] pr. επ S | fin.] add. duo stichos και ου φοβηθηση απο ταλαιπωριας, οτι ελευσεται ταλαιπωρια A† || 22$^2$ αγριων] + της γης A(†) | ου μη φοβηθης BS†] ου φοβηθηση A, ου μη -θηση mu.: cf. 21 || ante 23 addit O† stichum ※οτι μετα των λιθων του αγρου η διαθηκη σου uel sim. = 𝔐; post 23 addunt A† et codex unus codici A cognatus quatuor stichos οτι μετα των λιθων του αγρου η διαθηκη σου, και τα θηρια του αγρου ειρηνευσει(uel -σουσι) σοι, και γνωση οτι εν ειρηνη το σπερμα(uel σκηνωμα) σου, και επισκοπη της ευπρεπειας σου και ου μη αμαρτης (codex cognatus om. quatuor ultima uerba): ad hos stichos et ad 24$^1$ quidam adscripsit asteriscos in marg. codicis A (cf. 9 7 et Rahlfs Sept.-Stud. 3 [1911], p. 31 n. 6)



25 γνώσῃ δὲ ὅτι πολὺ τὸ σπέρμα σου,
τὰ δὲ τέκνα σου ἔσται ὥσπερ τὸ παμβότανον τοῦ ἀγροῦ.
26 ἐλεύσῃ δὲ ἐν τάφῳ ὥσπερ σῖτος ὥριμος κατὰ καιρὸν θεριζόμενος
ἢ ὥσπερ θιμωνιὰ ἅλωνος καθ᾽ ὥραν συγκομισθεῖσα.
27 ἰδοὺ ταῦτα οὕτως ἐξιχνιάσαμεν,
ταῦτά ἐστιν ἃ ἀκηκόαμεν·
σὺ δὲ γνῶθι σεαυτῷ εἴ τι ἔπραξας.
6 1 Ὑπολαβὼν δὲ Ιωβ λέγει
2 Εἰ γάρ τις ἱστῶν στήσαι μου τὴν ὀργήν,
τὰς δὲ ὀδύνας μου ἄραι ἐν ζυγῷ ὁμοθυμαδόν,
3 καὶ δὴ ἄμμου παραλίας βαρυτέρα ἔσται·
ἀλλ᾽ ὡς ἔοικεν, τὰ ῥήματά μού ἐστιν φαῦλα.
4 βέλη γὰρ κυρίου ἐν τῷ σώματί μού ἐστιν,
ὧν ὁ θυμὸς αὐτῶν ἐκπίνει μου τὸ αἷμα·
ὅταν ἄρξωμαι λαλεῖν, κεντοῦσί με.
5 τί γάρ; μὴ διὰ κενῆς κεκράξεται ὄνος ἄγριος, ἀλλ᾽ ἢ τὰ σῖτα ζητῶν;
εἰ δὲ καὶ ῥήξει φωνὴν βοῦς ἐπὶ φάτνης ἔχων τὰ βρώματα;
6 εἰ βρωθήσεται ἄρτος ἄνευ ἁλός;
εἰ δὲ καὶ ἔστιν γεῦμα ἐν ῥήμασιν κενοῖς;
7 οὐ δύναται γὰρ παύσασθαί μου ἡ ψυχή·
βρόμον γὰρ ὁρῶ τὰ σῖτά μου ὥσπερ ὀσμὴν λέοντος.
8 εἰ γὰρ δῴη, καὶ ἔλθοι μου ἡ αἴτησις,
καὶ τὴν ἐλπίδα μου δῴη ὁ κύριος.
9 ἀρξάμενος ὁ κύριος τρωσάτω με,
εἰς τέλος δὲ μή με ἀνελέτω.
10 εἴη δέ μου πόλις τάφος, ἐφ᾽ ἧς ἐπὶ τειχέων ἡλλόμην ἐπ᾽ αὐτῆς, οὐ μὴ φείσωμαι·
οὐ γὰρ ἐψευσάμην ῥήματα ἅγια θεοῦ μου.
11 τίς γάρ μου ἡ ἰσχύς, ὅτι ὑπομένω;
ἢ τίς μου ὁ χρόνος, ὅτι ἀνέχεταί μου ἡ ψυχή;
12 μὴ ἰσχὺς λίθων ἡ ἰσχύς μου;
ἢ αἱ σάρκες μού εἰσιν χάλκειαι;

25$^1$ γνωση δε] και γν. A†: cf. 3 12 || 26$^1$ ελευση] pr. απ A† | καιρον] + αυτου A† || 27$^1$ εξιχνιασα S*† | 27$^3$ ει > S*ABc | επραξας] εποιησας A†
6 2$^1$ ει] τι A† || 3$^1$ βαρυτεραι εισιν A† || 4$^1$ στοματι S† | 4$^2$ αυτων > A† || 6$^1$ > S*† || 7$^1$ γαρ] δε A† | παυσ. μου] tr. A | ψυχη] οργη BS*† | 7$^2$ οσμη S*† || 8$^1$ ελθη A | 8$^2$ κυριος] θεος A† || 9$^1$ με > S*A | 9$^2$ με > S* || 10$^1$ μου πολις] μοι η πολ. μου A† | επ(S*† απ) — 10$^1$ fin. est stichus singularis in S, ου μη φεισ. ad 10$^2$ trahit A | ου μη φεισ.] ου φεισομαι B† | 10$^2$ ρηματα αγια] tr. S†, εν ρηματι αγιου A(†) || 11$^1$ η > S*† || 12$^2$ χαλκαι A†: cf. 20 24 40 18 41 7. 20 et Thack. § 12, 2

13 ἢ οὐκ ἐπ' αὐτῷ ἐπεποίθειν;
βοήθεια δὲ ἀπ' ἐμοῦ ἄπεστιν.
14 ἀπείπατό με ἔλεος,
ἐπισκοπὴ δὲ κυρίου ὑπερεῖδέν με.
15 οὐ προσεῖδόν με οἱ ἐγγύτατοί μου· ὥσπερ χειμάρρους ἐκ-
λείπων
ἢ ὥσπερ κῦμα παρῆλθόν με·
16 οἵτινές με διευλαβοῦντο, νῦν ἐπιπεπτώκασίν μοι
ὥσπερ χιὼν ἢ κρύσταλλος πεπηγώς·
17 καθὼς τακεῖσα θέρμης γενομένης οὐκ ἐπεγνώσθη ὅπερ ἦν,
18 οὕτως κἀγὼ κατελείφθην ὑπὸ πάντων,
ἀπωλόμην δὲ καὶ ἔξοικος ἐγενόμην.
19 ἴδετε ὁδοὺς Θαιμανων,
ἀτραποὺς Σαβων, οἱ διορῶντες·
20 καὶ αἰσχύνην ὀφειλήσουσιν
οἱ ἐπὶ πόλεσιν καὶ χρήμασιν πεποιθότες.
21 ἀτὰρ δὲ καὶ ὑμεῖς ἐπέβητέ μοι ἀνελεημόνως,
ὥστε ἰδόντες τὸ ἐμὸν τραῦμα φοβήθητε.
22 τί γάρ; μή τι ὑμᾶς ᾔτησα
ἢ τῆς παρ' ὑμῶν ἰσχύος ἐπιδέομαι
23 ὥστε σῶσαί με ἐξ ἐχθρῶν
ἢ ἐκ χειρὸς δυναστῶν ῥύσασθαί με;
24 διδάξατέ με, ἐγὼ δὲ κωφεύσω·
εἴ τι πεπλάνημαι, φράσατέ μοι.
25 ἀλλ' ὡς ἔοικεν, φαῦλα ἀληθινοῦ ῥήματα,
οὐ γὰρ παρ' ὑμῶν ἰσχὺν αἰτοῦμαι·
26 οὐδὲ ὁ ἔλεγχος ὑμῶν ῥήμασίν με παύσει,
οὐδὲ γὰρ ὑμῶν φθέγμα ῥήματος ἀνέξομαι.
27 πλὴν ὅτι ἐπ' ὀρφανῷ ἐπιπίπτετε,
ἐνάλλεσθε δὲ ἐπὶ φίλῳ ὑμῶν.
28 νυνὶ δὲ εἰσβλέψας εἰς πρόσωπα ὑμῶν οὐ ψεύσομαι.
29 καθίσατε δὴ καὶ μὴ εἴη ἄδικον,
καὶ πάλιν τῷ δικαίῳ συνέρχεσθε.

14[1] απειπ.] + δε A† | 14[2] επισκ. δε] και επισκ. A†: cf. 3 12 || 15[2] κυματα A† || 16[1] διευλαβ.] δι > A† || 17 τακεις A† | γινομ. A† | ουκ επεγν.] ουκετι εγν. A† || 18[2] δε] τε A† || 19[2]] pr. και A(†) | σαβων] εσεβων Sc(†), ασεβων A(†) | fin.] + αισχυνθηται(pro -τε) A (οι διορ. αισχ. est stichus in A) || 20[1] και > A† | οφειλ.] pr. οι ορωντες A† || 21[1] δε] δη A || 23[1] εξ] εκ χειρος A pl. | εχθρων] κακων A† | 23[2] εκ χ. δυν./ρυσ. με] tr. A† (A δυναστου) || 25[1] αληθ.] pr. ανδρος A | 25[2] ισχυν] pr. ρημα ουδε A† || 26[1] ρημ. με] τα ρηματα μου A† | 26[2] γαρ > A† | υμων/φθ. ρημ.] tr. A† (hab. φθεγματος pro -μα) || 27[1] επ > A† || 28 εμβλεψας A || 29[1]] + εν κρισ(ε)ι ASc (in Sy sub ∾)

30 οὐ γάρ ἐστιν ἐν γλώσσῃ μου ἄδικον·
ἢ ὁ λάρυγξ μου οὐχὶ σύνεσιν μελετᾷ;
7 1 πότερον οὐχὶ πειρατήριόν ἐστιν ὁ βίος ἀνθρώπου ἐπὶ τῆς γῆς
καὶ ὥσπερ μισθίου αὐθημερινοῦ ἡ ζωὴ αὐτοῦ;
2 ἢ ὥσπερ θεράπων δεδοικὼς τὸν κύριον αὐτοῦ καὶ τετευ-
χὼς σκιᾶς
ἢ ὥσπερ μισθωτὸς ἀναμένων τὸν μισθὸν αὐτοῦ.
3 οὕτως κἀγὼ ὑπέμεινα μῆνας κενούς,
νύκτες δὲ ὀδυνῶν δεδομέναι μοί εἰσιν.
4 ἐὰν κοιμηθῶ, λέγω Πότε ἡμέρα;
ὡς δ' ἂν ἀναστῶ, πάλιν Πότε ἑσπέρα;
πλήρης δὲ γίνομαι ὀδυνῶν ἀπὸ ἑσπέρας ἕως πρωί.
5 φύρεται δέ μου τὸ σῶμα ἐν σαπρίᾳ σκωλήκων,
τήκω δὲ βώλακας γῆς ἀπὸ ἰχῶρος ξύων.
6 ὁ δὲ βίος μού ἐστιν ἐλαφρότερος λαλιᾶς,
ἀπόλωλεν δὲ ἐν κενῇ ἐλπίδι.
7 μνήσθητι οὖν ὅτι πνεῦμά μου ἡ ζωὴ
καὶ οὐκέτι ἐπανελεύσεται ὁ ὀφθαλμός μου ἰδεῖν ἀγαθόν.
8 ※οὐ περιβλέψεταί με ὀφθαλμὸς ὁρῶντός με·
※οἱ ὀφθαλμοί σου ἐν ἐμοί, καὶ οὐκέτι εἰμί↙
9 ὥσπερ νέφος ἀποκαθαρθὲν ἀπ' οὐρανοῦ.
ἐὰν γὰρ ἄνθρωπος καταβῇ εἰς ᾅδην, οὐκέτι μὴ ἀναβῇ
10 οὐδ' οὐ μὴ ἐπιστρέψῃ ἔτι εἰς τὸν ἴδιον οἶκον,
οὐδὲ μὴ ἐπιγνῷ αὐτὸν ἔτι ὁ τόπος αὐτοῦ.
11 ἀτὰρ οὖν οὐδὲ ἐγὼ φείσομαι τῷ στόματί μου,
λαλήσω ἐν ἀνάγκῃ ὤν,
ἀνοίξω πικρίαν ψυχῆς μου συνεχόμενος.
12 πότερον θάλασσά εἰμι ἢ δράκων,
ὅτι κατέταξας ἐπ' ἐμὲ φυλακήν;
13 εἶπα ὅτι Παρακαλέσει με ἡ κλίνη μου,
ἀνοίσω δὲ πρὸς ἐμαυτὸν ἰδίᾳ λόγον τῇ κοίτῃ μου·

30[1] εν γλ. μου/αδικον] tr. A† | 30[2] η ο λ. μου ουχι] η ουχι ο λ. μου mu., ουχι δε και ο λ. μου A†
7 1[1] ανθρ.] pr. του S† | 1[2] μισθου A || 2[1] τετυχηκως A†: cf. Thack. p. 287 || 5[2] ξεων AC†: cf. 2 8 || 6[1] λαλιας] δρομεως ASc || 7[1] ουν] δε A† | 7[2] ο > B || 8[1] ου περιβλ. με] ουκ ατενοι(sic) μοι A† | οφθ.] pr. ο A | 8[2] ουκετι] ουκ A†, sed ante 9[1] add. A† και ουκετι ειμι || 9[2] ουκετι μη αναβη] ου μη αν αναβη ετι A† || 10[1] ουδ ου] ουδε A | επιστραφη A† | ετι > B | 10[2] ουδε] ουδ ου B† | ετι/ο τ. αυ.] tr. A† || 11[1] αταρ ουν] τοιγαρουν A† = α' θ', cf. Field | ουν > S*† | 11[2] λαλ.] + δε A | ων BS*†] + του πνευματος μου rel. (in O sub ※) | 11[3] ανοιξω] + το στομα μου ASc† | πικρια Sc, εν πικρια A† | μου > A | fin.] + φοβω S*† || 12[2] οτι] επ(ε)ι A† | επ εμε] κατ εμου A† || 13[1] ειπα οτι] ειπον A† | 13[2] ιδια λογον] διαλογον ιδια A†

14 ἐκφοβεῖς με ἐνυπνίοις καὶ ἐν ὁράμασίν με καταπλήσσεις.
15 ἀπαλλάξεις ἀπὸ πνεύματός μου τὴν ψυχήν μου,
ἀπὸ δὲ θανάτου τὰ ὀστᾶ μου.
16 οὐ γὰρ εἰς τὸν αἰῶνα ζήσομαι, ἵνα μακροθυμήσω·
ἀπόστα ἀπ᾽ ἐμοῦ, κενὸς γάρ μου ὁ βίος.
17 τί γάρ ἐστιν ἄνθρωπος, ὅτι ἐμεγάλυνας αὐτὸν
ἢ ὅτι προσέχεις τὸν νοῦν εἰς αὐτὸν
18 ἢ ἐπισκοπὴν αὐτοῦ ποιήσῃ ἕως τὸ πρωὶ
καὶ εἰς ἀνάπαυσιν αὐτὸν κρινεῖς;
19 ἕως τίνος οὐκ ἐᾷς με
οὐδὲ προΐῃ με, ἕως ἂν καταπίω τὸν πτύελόν μου ἐν ὀδύνῃ;
20 εἰ ἐγὼ ἥμαρτον, τί δύναμαί σοι πρᾶξαι,
ὁ ἐπιστάμενος τὸν νοῦν τῶν ἀνθρώπων;
διὰ τί ἔθου με κατεντευκτήν σου,
εἰμὶ δὲ ἐπὶ σοὶ φορτίον;
21 καὶ διὰ τί οὐκ ἐποιήσω τῆς ἀνομίας μου λήθην
καὶ καθαρισμὸν τῆς ἁμαρτίας μου;
νυνὶ δὲ εἰς γῆν ἀπελεύσομαι,
ὀρθρίζων δὲ οὐκέτι εἰμί.
8 1 Ὑπολαβὼν δὲ Βαλδαδ ὁ Σαυχίτης λέγει
2 Μέχρι τίνος λαλήσεις ταῦτα;
πνεῦμα πολυρῆμον τοῦ στόματός σου.
3 μὴ ὁ κύριος ἀδικήσει κρίνων
ἢ ὁ τὰ πάντα ποιήσας ταράξει τὸ δίκαιον;
4 εἰ οἱ υἱοί σου ἥμαρτον ἐναντίον αὐτοῦ,
ἀπέστειλεν ἐν χειρὶ ἀνομίας αὐτῶν.
5 σὺ δὲ ὄρθριζε πρὸς κύριον παντοκράτορα δεόμενος.
6 εἰ καθαρὸς εἶ καὶ ἀληθινός, δεήσεως ἐπακούσεταί σου,
ἀποκαταστήσει δέ σοι δίαιταν δικαιοσύνης·
7 ἔσται οὖν τὰ μὲν πρῶτά σου ὀλίγα,
τὰ δὲ ἔσχατά σου ἀμύθητα.
8 ἐπερώτησον γὰρ γενεὰν πρώτην,
ἐξιχνίασον δὲ κατὰ γένος πατέρων·
9 χθιζοὶ γάρ ἐσμεν καὶ οὐκ οἴδαμεν,
σκιὰ γάρ ἐστιν ἡμῶν ἐπὶ τῆς γῆς ὁ βίος.

14 init.] pr. δια τι A† || 15[1] απαλλαξεις(A† σσ pro ξ)] + δε ASc† | μου 1[0] > A† | ψυχην] ζωην A† | 15[2]] την δε ψυχην μου απο του σωματος μου A† || 18[1] ποιη A† | εως > A†, εως⌒19[1] εως S*† || 20[1] δυναμαι σοι] δυνησομαι B† || 21[1] ουκ εποι. της ανομ. μου ληθην BS†] ουκ εποι. ληθην της ανομ. μου pl., ου ληθην εποι. της αμαρτιας μου A† | 21[2] αμαρτ.] ανομιας A†
8 2[1] ταυτα > S*† || 4[1] οι > SA† | 4[2] χερσιν S† | ανομιας] την -μιαν A† || 6[1] αληθινος] + ει A† (O add. ※συ) | επακουσ. σου] tr. A† || 8[1] γαρ] δε S†, > A† || 9[2] γαρ] δε A† | επι τ. γης / ο βιος BS†] tr. rel.



10 ἢ οὐχ οὗτοί σε διδάξουσιν καὶ ἀναγγελοῦσιν
καὶ ἐκ καρδίας ἐξάξουσιν ῥήματα;
11 μὴ θάλλει πάπυρος ἄνευ ὕδατος
ἢ ὑψωθήσεται βούτομον ἄνευ πότου;
12 ἔτι ὂν ἐπὶ ῥίζης καὶ οὐ μὴ θερισθῇ,
πρὸ τοῦ πιεῖν πᾶσα βοτάνη οὐχὶ ξηραίνεται.
13 οὕτως τοίνυν ἔσται τὰ ἔσχατα πάντων τῶν ἐπιλανθανομένων τοῦ κυρίου·
ἐλπὶς γὰρ ἀσεβοῦς ἀπολεῖται.
14 ἀοίκητος γὰρ αὐτοῦ ἔσται ὁ οἶκος,
ἀράχνη δὲ αὐτοῦ ἀποβήσεται ἡ σκηνή.
15 ἐὰν ὑπερείσῃ τὴν οἰκίαν αὐτοῦ, οὐ μὴ στῇ·
ἐπιλαβομένου δὲ αὐτοῦ οὐ μὴ ὑπομείνῃ·
16 ὑγρὸς γάρ ἐστιν ὑπὸ ἡλίου,
καὶ ἐκ σαπρίας αὐτοῦ ὁ ῥάδαμνος αὐτοῦ ἐξελεύσεται.
17 ἐπὶ συναγωγὴν λίθων κοιμᾶται,
ἐν δὲ μέσῳ χαλίκων ζήσεται.
18 ἐὰν καταπίῃ, ὁ τόπος ψεύσεται αὐτόν·
οὐχ ἑόρακας τοιαῦτα.
19 ὅτι καταστροφὴ ἀσεβοῦς τοιαύτη,
ἐκ δὲ γῆς ἄλλον ἀναβλαστήσει.
20 ὁ γὰρ κύριος οὐ μὴ ἀποποιήσηται τὸν ἄκακον,
πᾶν δὲ δῶρον ἀσεβοῦς οὐ δέξεται.
21 ἀληθινῶν δὲ στόμα ἐμπλήσει γέλωτος,
τὰ δὲ χείλη αὐτῶν ἐξομολογήσεως·
22 οἱ δὲ ἐχθροὶ αὐτῶν ἐνδύσονται αἰσχύνην,
δίαιτα δὲ ἀσεβοῦς οὐκ ἔσται.
9 1 Ὑπολαβὼν δὲ Ιωβ λέγει
2 Ἐπ᾽ ἀληθείας οἶδα ὅτι οὕτως ἐστίν·
πῶς γὰρ ἔσται δίκαιος βροτὸς παρὰ κυρίῳ;
3 ἐὰν γὰρ βούληται κριθῆναι αὐτῷ,
οὐ μὴ ὑπακούσῃ αὐτῷ,

10[1] διδαξ.] + ρηματα A† | αναγγ.] + σοι συνεσιν σοφιας A† | 10[2] εξαξ.] σε διδαξουσιν A† || 12[1] > S*† | 12[2] πασαν βοτανην A | pro ουχι ξηρ. hab. A† stichum εαν δε μη πιη ξηραινεται (etiam stichi praecedentes alio modo distinguuntur) | ουχι ξηρ.] ξηρανθησεται pl. || 13[1] κυριου] θεου A† | 13[2] ασεβων S*† | απολειται] απ > A† || 14[1] γαρ] δε A† | αυτου εσται] tr. SA | οικος] + και η οδος αυτου A† | 14[2]] η δε σκηνη αυτου αραχνη αποβησεται A† || 15[2] αυτου] -της A† || 16[2] αυτου 1[0] > S || 17[1] συναγωγη A || 18[1] ο τοπ. ψευσ. / αυτον] tr. A† || 19[2] αλλο A† || 20[1] αποποιησεται A || 21[2] τα δε] και τα A†: cf. 3 12 | εξομολ.] αγαλλιασεως A† || 22[2] διαιτα δε] και δι. A† | ασεβων S*†
9 3[1] αυτω] μετ αυτου A†

ἵνα μὴ ἀντείπῃ πρὸς ἕνα λόγον αὐτοῦ ἐκ χιλίων.
4 σοφὸς γάρ ἐστιν διανοίᾳ, κραταιός τε καὶ μέγας·
τίς σκληρὸς γενόμενος ἐναντίον αὐτοῦ ὑπέμεινεν;
5 ὁ παλαιῶν ὄρη καὶ οὐκ οἴδασιν,
ὁ καταστρέφων αὐτὰ ὀργῇ·
6 ὁ σείων τὴν ὑπ' οὐρανὸν ἐκ θεμελίων,
οἱ δὲ στῦλοι αὐτῆς σαλεύονται·
7 ὁ λέγων τῷ ἡλίῳ καὶ οὐκ ἀνατέλλει,
κατὰ δὲ ἄστρων κατασφραγίζει·
8 ὁ τανύσας τὸν οὐρανὸν μόνος
καὶ περιπατῶν ὡς ἐπ' ἐδάφους ἐπὶ θαλάσσης·
9 ὁ ποιῶν Πλειάδα καὶ Ἕσπερον καὶ Ἀρκτοῦρον καὶ ταμίεια νότου·
10 ὁ ποιῶν μεγάλα καὶ ἀνεξιχνίαστα,
ἔνδοξά τε καὶ ἐξαίσια, ὧν οὐκ ἔστιν ἀριθμός.
11 ἐὰν ὑπερβῇ με, οὐ μὴ ἴδω·
καὶ ἐὰν παρέλθῃ με, οὐδ' ὣς ἔγνων.
12 ἐὰν ἀπαλλάξῃ, τίς ἀποστρέψει;
ἢ τίς ἐρεῖ αὐτῷ Τί ἐποίησας;
13 αὐτὸς γὰρ ἀπέστραπται ὀργήν,
ὑπ' αὐτοῦ ἐκάμφθησαν κήτη τὰ ὑπ' οὐρανόν.
14 ἐὰν δέ μου ὑπακούσηται, ἢ διακρινεῖ τὰ ῥήματά μου.
15 ἐάν τε γὰρ ὦ δίκαιος, οὐκ εἰσακούσεταί μου,
※τοῦ κρίματος αὐτοῦ δεηθήσομαι·↙
16 ἐάν τε καλέσω καὶ ὑπακούσῃ,
οὐ πιστεύω ὅτι εἰσακήκοέν μου.
17 μὴ γνόφῳ με ἐκτρίψῃ;
πολλὰ δέ μου τὰ συντρίμματα πεποίηκεν διὰ κενῆς.
18 οὐκ ἐᾷ γάρ με ἀναπνεῦσαι,
ἐνέπλησεν δέ με πικρίας.
19 ὅτι μὲν γὰρ ἰσχύι κρατεῖ·
τίς οὖν κρίματι αὐτοῦ ἀντιστήσεται;
20 ἐὰν γὰρ ὦ δίκαιος, τὸ στόμα μου ἀσεβήσει·
ἐάν τε ὦ ἄμεμπτος, σκολιὸς ἀποβήσομαι.
21 εἴτε γὰρ ἠσέβησα, οὐκ οἶδα τῇ ψυχῇ,

**$3^{3}$** χειλεων A || **$4^{2}$** γενομ./εναντ. αυτου] tr. S† || **$5^{1}$** και > B*† | $5^{2}$ οργη] pr. εν A† || **$7^{1}$** ηλιω] + μη ανατελλειν A† | post $7^{2}$ repetunt BS† stichum **4** $18^{2}$ a S$^{c}$ asterisco notatum (cf. **5** 23 **10** 4 Sir. **32** 18) || **$8^{2}$** και > B*† | ως επ εδ./επι θαλ.] tr. A† | επι > S*† || **$13^{1}$** οργη A† | $13^{2}$ αυτου] + δε S$^{c}$ | εκαμφθη A† || **14** υπακουσεται B, εισακουση A† | διακρινη A || **$15^{1}$** τε > BS*† || **$16^{1}$** τε] δε S† | υπακουση] pr. μη B†, εισακ. A† || **$17^{1}$** γνοφω] pr. εν A† | $17^{2}$ μου/τα συντριμμ.] tr. compl., + μου A† || **$18^{2}$** δε] γαρ S† || **$19^{1}$** ισχυει B || **$21^{1}$** ησεβηκα S†, ηυσεβησα Gra.



πλὴν ὅτι ἀφαιρεῖταί μου ἡ ζωή.
22 διὸ εἶπον Μέγαν καὶ δυνάστην ἀπολλύει ὀργή,
23 ὅτι φαῦλοι ἐν θανάτῳ ἐξαισίῳ,
ἀλλὰ δίκαιοι καταγελῶνται·
24 παραδέδονται γὰρ εἰς χεῖρας ἀσεβοῦς.
※πρόσωπα κριτῶν αὐτῆς συγκαλύπτει·
※εἰ δὲ μὴ αὐτός, τίς ἐστιν;↙
25 ὁ δὲ βίος μού ἐστιν ἐλαφρότερος δρομέως·
ἀπέδρασαν καὶ οὐκ εἴδοσαν.
26 ἢ καὶ ἔστιν ναυσὶν ἴχνος ὁδοῦ
ἢ ἀετοῦ πετομένου ζητοῦντος βοράν;
27 ἐάν τε γὰρ εἴπω, ἐπιλήσομαι λαλῶν,
συγκύψας τῷ προσώπῳ στενάξω.
28 σείομαι πᾶσιν τοῖς μέλεσιν,
οἶδα γὰρ ὅτι οὐκ ἀθῷόν με ἐάσεις.
29 ἐπειδὴ δέ εἰμι ἀσεβής, διὰ τί οὐκ ἀπέθανον;
30 ἐὰν γὰρ ἀπολούσωμαι χιόνι
καὶ ἀποκαθάρωμαι χερσὶν καθαραῖς,
31 ἱκανῶς ἐν ῥύπῳ με ἔβαψας,
ἐβδελύξατο δέ με ἡ στολή.
32 οὐ γὰρ εἶ ἄνθρωπος κατ' ἐμέ, ᾧ ἀντικρινοῦμαι,
ἵνα ἔλθωμεν ὁμοθυμαδὸν εἰς κρίσιν.
33 εἴθε ἦν ὁ μεσίτης ἡμῶν καὶ ἐλέγχων
καὶ διακούων ἀνὰ μέσον ἀμφοτέρων·
34 ἀπαλλαξάτω ἀπ' ἐμοῦ τὴν ῥάβδον,
ὁ δὲ φόβος αὐτοῦ μή με στροβείτω,
35 καὶ οὐ μὴ φοβηθῶ, ἀλλὰ λαλήσω·
οὐ γὰρ οὕτω συνεπίσταμαι.
**10** 1 κάμνων τῇ ψυχῇ μου,
στένων ἐπαφήσω ἐπ' αὐτὸν τὰ ῥήματά μου·
λαλήσω πικρίᾳ ψυχῆς μου συνεχόμενος

**$21^{2}$** πλην οτι] πλην B†, διο S*† | αφαιρειται BS†] αφηρηται rel. || **$23^{1}$**] + απολουνται A† || **$24^{1}$**] ※*terra tradita est in manus impii* La; Gra. παραδεδοται γη pro παραδεδονται γαρ | $24^{2}$ αυτου A† | $24^{3}$ τις εστιν] pr. εστιν BS*†, τις > AS$^{c}$† || **$25^{1}$** εστιν ελαφρ.] tr. A† | $25^{2}$ απεδρα A† || **$28^{1}$** σειομαι] + γαρ A† || **29** δε > A† || **$31^{1}$** εν ρυπω/με] tr. A† | $31^{2}$ fin.] + μου A || **$32^{1}$** ω] ου A† || **$33^{1}$** ειθε] ει γαρ A†, ει γε compl. | ελεγχων] ο διελ. A† | $33^{2}$ διακρινων A† | fin.] add. stichum δυειν δε μοι χρια A† || **$34^{1}$** ραβδον] + αυτου A† (in *O* sub ※) | $34^{2}$ ο δε] και ο A†: cf. **3** 12 || **$35^{1}$** αλλα] αν S*, εαν mu. | $35^{2}$ ουτω(ς)] αυτω S*†, > A† | fin.] + εμαυτω αδικον AS$^{c}$†

**10** **$1^{1}$** > S*† | καμνων] -νω δε A† | $1^{2}$ επαφησω επ αυτον] επ εμαυτον επαφ. A$^{(†)}$ | τα ρημ. μου] τον θυμον μου ($1^{3}$) τα δε ρημ. μου A† | $1^{3}$ πικρια] -ας S*†, pr. εν A† | μου > A

2 καὶ ἐρῶ πρὸς κύριον Μή με ἀσεβεῖν δίδασκε·
καὶ διὰ τί με οὕτως ἔκρινας;
3 ἢ καλόν σοι, ἐὰν ἀδικήσω,
ὅτι ἀπείπω ἔργα χειρῶν σου,
βουλῇ δὲ ἀσεβῶν προσέσχες;
4 ἢ ὥσπερ βροτὸς ὁρᾷ καθορᾷς
※ἢ καθὼς ὁρᾷ ἄνθρωπος βλέψῃ;↙
5 ἢ ὁ βίος σου ἀνθρώπινός ἐστιν
ἢ τὰ ἔτη σου ἀνδρός;
6 ὅτι ἀνεζήτησας τὴν ἀνομίαν μου
καὶ τὰς ἁμαρτίας μου ἐξιχνίασας.
7 οἶδας γὰρ ὅτι οὐκ ἠσέβησα·
ἀλλὰ τίς ἐστιν ὁ ἐκ τῶν χειρῶν σου ἐξαιρούμενος;
8 αἱ χεῖρές σου ἔπλασάν με καὶ ἐποίησάν με,
μετὰ ταῦτα μεταβαλών με ἔπαισας.
9 μνήσθητι ὅτι πηλόν με ἔπλασας,
εἰς δὲ γῆν με πάλιν ἀποστρέφεις.
10 ἢ οὐχ ὥσπερ γάλα με ἤμελξας,
ἐτύρωσας δέ με ἴσα τυρῷ;
11 δέρμα καὶ κρέας με ἐνέδυσας,
ὀστέοις δὲ καὶ νεύροις με ἐνεῖρας.
12 ζωὴν δὲ καὶ ἔλεος ἔθου παρ᾽ ἐμοί,
ἡ δὲ ἐπισκοπή σου ἐφύλαξέν μου τὸ πνεῦμα.
13 ταῦτα ἔχων ἐν σεαυτῷ οἶδα ὅτι πάντα δύνασαι,
ἀδυνατεῖ δέ σοι οὐθέν.
14 ἐάν τε γὰρ ἁμάρτω, φυλάσσεις με,
ἀπὸ δὲ ἀνομίας οὐκ ἀθῷόν με πεποίηκας.
15 ἐάν τε γὰρ ἀσεβὴς ὦ, οἴμμοι·
ἐάν τε ὦ δίκαιος, οὐ δύναμαι ἀνακύψαι,
πλήρης γὰρ ἀτιμίας εἰμί.
16 ἀγρεύομαι γὰρ ὥσπερ λέων εἰς σφαγήν,
πάλιν δὲ μεταβαλὼν δεινῶς με ὀλέκεις

2$^{2}$ εκρινες A || 3$^{1}$ σοι] + εστιν A† | αδικ.] ασεβησω A† | 3$^{2}$ απιπωμε (i. e. απειπωμαι) A† || 4$^{2}$ hunc asteriscum praeb. etiam S$^{c}$, cf. 9 7 | βλεψη] βλεπεις codex unus codici A cognatus, βλεψις A† (cf. Thack. p. 232) || 5$^{1}$ εστιν > A† || 7$^{1}$ οιδα A† || 8$^{1}$ επλασαν ... εποιησαν] tr. SA: cf. Ps. 118 73 | 8$^{2}$ μετα] + δε A† || 9$^{2}$ με παλιν] tr. S† || 10$^{2}$ ετυρ.] επηξας A† || 11$^{1}$ δερμα] + δε B | κρεα B† | 11$^{2}$ με ενειρας] tr. A† || 12$^{1}$ ελεον A† || 13$^{1}$ εαυτω S$^{c}$ || 14$^{1}$ φυλαξεις S*A† | 14$^{2}$ πεποι.] εασ⟨ε⟩ις A† || 15$^{1}$ ασεβης ω] -βησω Sixt.: cf. 3$^{1}$ A | 15$^{2}$ τε] δε BC† (C† δε etiam pro 15$^{1}$ τε), + γαρ S | δυνησομαι A† | 15$^{3}$ ατιμιας ειμι] ειμι ανομιας A† || 16$^{1}$ γαρ] δε A† | 16$^{2}$ παλιν δε] π. γαρ BS*†; και παλιν A†: cf. 3 12 | μεταβ.] + με A†



17 ἐπανακαινίζων ἐπ᾽ ἐμὲ τὴν ἔτασίν μου·
ὀργῇ δὲ μεγάλῃ μοι ἐχρήσω,
ἐπήγαγες δὲ ἐπ᾽ ἐμὲ πειρατήρια.
18 ἵνα τί οὖν ἐκ κοιλίας με ἐξήγαγες, καὶ οὐκ ἀπέθανον,
ὀφθαλμὸς δέ με οὐκ εἶδεν,
19 καὶ ὥσπερ οὐκ ὢν ἐγενόμην;
διὰ τί γὰρ ἐκ γαστρὸς εἰς μνῆμα οὐκ ἀπηλλάγην;
20 ἢ οὐκ ὀλίγος ἐστὶν ὁ χρόνος τοῦ βίου μου;
ἔασόν με ἀναπαύσασθαι μικρὸν
21 πρὸ τοῦ με πορευθῆναι ὅθεν οὐκ ἀναστρέψω,
εἰς γῆν σκοτεινὴν καὶ γνοφεράν,
22 εἰς γῆν σκότους αἰωνίου, οὗ οὐκ ἔστιν φέγγος
οὐδὲ ὁρᾶν ζωὴν βροτῶν.
11 1 Ὑπολαβὼν δὲ Σωφαρ ὁ Μιναῖος λέγει
2 Ὁ τὰ πολλὰ λέγων καὶ ἀντακούσεται·
ἢ καὶ ὁ εὔλαλος οἴεται εἶναι δίκαιος;
εὐλογημένος γεννητὸς γυναικὸς ὀλιγόβιος.
3 μὴ πολὺς ἐν ῥήμασιν γίνου,
οὐ γάρ ἐστιν ὁ ἀντικρινόμενός σοι.
4 μὴ γὰρ λέγε ὅτι Καθαρός εἰμι τοῖς ἔργοις
καὶ ἄμεμπτος ἐναντίον αὐτοῦ.
5 ἀλλὰ πῶς ἂν ὁ κύριος λαλήσαι πρὸς σέ;
※καὶ ἀνοίξει χείλη αὐτοῦ μετὰ σοῦ.↙
6 εἶτα ἀναγγελεῖ σοι δύναμιν σοφίας,
ὅτι διπλοῦς ἔσται τῶν κατὰ σέ·
καὶ τότε γνώσῃ ὅτι ἄξιά σοι ἀπέβη ἀπὸ κυρίου ὧν ἡμάρτηκας.
7 ἢ ἴχνος κυρίου εὑρήσεις
ἢ εἰς τὰ ἔσχατα ἀφίκου, ἃ ἐποίησεν ὁ παντοκράτωρ;
8 ὑψηλὸς ὁ οὐρανός, καὶ τί ποιήσεις;
βαθύτερα δὲ τῶν ἐν ᾅδου τί οἶδας;
9 ἢ μακρότερα μέτρου γῆς
ἢ εὔρους θαλάσσης;
10 ἐὰν δὲ καταστρέψῃ τὰ πάντα, τίς ἐρεῖ αὐτῷ Τί ἐποίησας;
11 αὐτὸς γὰρ οἶδεν ἔργα ἀνόμων,

17$^{1}$ μου] σου A† | 17$^{3}$ επηγαγες δε] και(cf. 3 12) επηγειρας A† || 19$^{1}$ εγεγονειν A† | 19$^{2}$ γαρ] δε A | απηλλαγην] απηλθον A† || 20$^{1}$ χρονος τ. βιου] βιος τ. χρονου BS† | 20$^{2}$ μικρον] ολιγον S† || 21$^{1}$ με > S† | αναστρεφω A
11 2$^{2}$ ειναι δικαιος BSC†] tr. rel. | 2$^{3}$ (cf. 14 1) γενν. γυν.] tr. A† || 5$^{1}$ ο κυρ. / λαλ.] tr. A† | λαλησει S† | 5$^{2}$ ανοιξει] -ξη A†, -ξαι mu. || 6$^{2}$ εστιν A† | των] τω S*, το (uel τα) pau. | 6$^{3}$ παρεβη A† || 7$^{1}$ η] μη A† | 7$^{2}$ α] ων A || 8$^{1}$ ο > S*C† | ουρανος] + γη δε βαθ⟨ε⟩ια A† | 8$^{2}$ βαθ. δε] η βαθ. A†: cf 15 8 et 3 12 || 9$^{1}$ μετρων A† | γης] + επιστασε(pro -σαι) A | 9$^{2}$ ευρος A

ἰδὼν δὲ ἄτοπα οὐ παρόψεται.
12 ἄνθρωπος δὲ ἄλλως νήχεται λόγοις,
βροτὸς δὲ γεννητὸς γυναικὸς ἴσα ὄνῳ ἐρημίτῃ.
13 εἰ γὰρ σὺ καθαρὰν ἔθου τὴν καρδίαν σου,
ὑπτιάζεις δὲ χεῖρας πρὸς αὐτόν,
14 εἰ ἄνομόν τί ἐστιν ἐν χερσίν σου,
πόρρω ποίησον αὐτὸ ἀπὸ σοῦ,
ἀδικία δὲ ἐν διαίτῃ σου μὴ αὐλισθήτω.
15 οὕτως γὰρ ἀναλάμψει σου τὸ πρόσωπον ὥσπερ ὕδωρ καθαρόν,
ἐκδύσῃ δὲ ῥύπον καὶ οὐ μὴ φοβηθῇς·
16 καὶ τὸν κόπον ἐπιλήσῃ
ὥσπερ κῦμα παρελθὸν καὶ οὐ πτοηθήσῃ·
17 ἡ δὲ εὐχή σου ὥσπερ ἑωσφόρος,
ἐκ δὲ μεσημβρίας ἀνατελεῖ σοι ζωή·
18 πεποιθώς τε ἔσῃ ὅτι ἔστιν σοι ἐλπίς,
ἐκ δὲ μερίμνης καὶ φροντίδος ἀναφανεῖταί σοι εἰρήνη.
19 ἡσυχάσεις γάρ, καὶ οὐκ ἔσται ὁ πολεμῶν σε·
μεταβαλόμενοι δὲ πολλοί σου δεηθήσονται.
20 σωτηρία δὲ αὐτοὺς ἀπολείψει·
ἡ γὰρ ἐλπὶς αὐτῶν ἀπώλεια,
ὀφθαλμοὶ δὲ ἀσεβῶν τακήσονται.

12 1 Ὑπολαβὼν δὲ Ιωβ λέγει
2 Εἶτα ὑμεῖς ἐστε ἄνθρωποι·
ἢ μεθ᾽ ὑμῶν τελευτήσει σοφία.
3 κἀμοὶ μὲν καρδία καθ᾽ ὑμᾶς ἐστιν.
4 δίκαιος γὰρ ἀνὴρ καὶ ἄμεμπτος ἐγενήθη εἰς χλεύασμα·
5 εἰς χρόνον γὰρ τακτὸν ἡτοίμαστο πεσεῖν ὑπὸ ἄλλους
οἴκους τε αὐτοῦ ἐκπορθεῖσθαι ὑπὸ ἀνόμων.
6 οὐ μὴν δὲ ἀλλὰ μηδεὶς πεποιθέτω πονηρὸς ὢν ἀθῷος ἔσεσθαι,
ὅσοι παροργίζουσιν τὸν κύριον,
ὡς οὐχὶ καὶ ἔτασις αὐτῶν ἔσται.
7 ἀλλὰ δὴ ἐπερώτησον τετράποδα ἐάν σοι εἴπωσιν,
πετεινὰ δὲ οὐρανοῦ ἐάν σοι ἀπαγγείλωσιν·

$11^2$ ατοπον A† || $12^1$ λογοις] pr. α A*† | $12^2$ ισα > A† || $13^1$ καθ. εθου] tr. S† | $13^2$ υπτιασας A† | χειρας] τας χ. σου A† (σου in O sub ※) || $14^2$ απο σου] απ εμου S*† || $15^1$ σου / το προσ.] tr. A† || $16^1$ τον κοπον] των κοπων σου A | $16^2$ ου] + μη A*† || $17^2$ ανατελλει S† || $19^2$ μεταβαλλομενοι S*, -βαλομενου A† || $20^1$ σωτ. δε] και σωτ. A†: cf. 3 12 | $20^2$ απωλεια] απολειται A† | $20^3$] add. stichum παρ αυτω γαρ σοφια και δυναμις A†: ex 12 13
12 $2^1$ ειτα] μη A† | ανθρ.] + μονοι A || 4 εγενομην A† | χλευασμον A† || $5^1$ γαρ > S† | πεσειν] + με A† | αλλοις A†, αλλων B*† | $5^2$ αυτου] μου A† || $6^2$ παροργ.] γαρ οργ. A† || $7^1$ επερωτησον] επ > BS† | ειπη A† | $7^2$ πετ. δε BS†] πετ. τε A†, η πετ. rel. | αναγγειλωσιν mu., αναγγειλη A†



8 ἐκδιήγησαι δὲ γῇ ἐάν σοι φράσῃ,
※καὶ ἐξηγήσονταί σοι οἱ ἰχθύες τῆς θαλάσσης.
9 ※τίς οὐκ ἔγνω ἐν πᾶσι τούτοις
※ὅτι χεὶρ κυρίου ἐποίησεν ταῦτα;↙
10 εἰ μὴ ἐν χειρὶ αὐτοῦ ψυχὴ πάντων τῶν ζώντων
καὶ πνεῦμα παντὸς ἀνθρώπου;
11 οὖς μὲν γὰρ ῥήματα διακρίνει,
λάρυγξ δὲ σῖτα γεύεται.
12 ἐν πολλῷ χρόνῳ σοφία,
ἐν δὲ πολλῷ βίῳ ἐπιστήμη.
13 παρ᾽ αὐτῷ σοφία καὶ δύναμις,
αὐτῷ βουλὴ καὶ σύνεσις.
14 ἐὰν καταβάλῃ, τίς οἰκοδομήσει;
ἐὰν κλείσῃ κατὰ ἀνθρώπων, τίς ἀνοίξει;
15 ἐὰν κωλύσῃ τὸ ὕδωρ, ξηρανεῖ τὴν γῆν·
ἐὰν δὲ ἐπαφῇ, ἀπώλεσεν αὐτὴν καταστρέψας.
16 παρ᾽ αὐτῷ κράτος καὶ ἰσχύς,
αὐτῷ ἐπιστήμη καὶ σύνεσις.
17 διάγων βουλευτὰς αἰχμαλώτους,
κριτὰς δὲ γῆς ἐξέστησεν.
18 καθιζάνων βασιλεῖς ἐπὶ θρόνους
※καὶ περιέδησεν ζώνῃ ὀσφύας αὐτῶν.↙
19 ἐξαποστέλλων ἱερεῖς αἰχμαλώτους,
δυνάστας δὲ γῆς κατέστρεψεν.
20 διαλλάσσων χείλη πιστῶν,
σύνεσιν δὲ πρεσβυτέρων ἔγνω.
21 ※ἐκχέων ἀτιμίαν ἐπ᾽ ἄρχοντας,↙
ταπεινοὺς δὲ ἰάσατο.
22 ἀνακαλύπτων βαθέα ἐκ σκότους,
ἐξήγαγεν δὲ εἰς φῶς σκιὰν θανάτου.
23 ※πλανῶν ἔθνη καὶ ἀπολλύων αὐτά,↙
καταστρωννύων ἔθνη καὶ καθοδηγῶν αὐτά.
24 διαλλάσσων καρδίας ἀρχόντων γῆς,

$8^1$ εκδιηγ. δε] δε > BS† (S*† -ηγησαις pro -σαι) | $8^2$ και] + ει A | σοι > S*† || $9^1$ τις] pr. οτι A†; + ουν BS†: ante ουκ || $10^1$ ει μη] οτι A† | των > BS*† || $11^1$ ους mu.] νους BSA: cf. 34 3 || $12^1$] + ευρισκεται A(†) | $12^2$ πολλω] μακρω A† || $13^2$] pr. παρ A†: item in $16^2$ || $14^1$ καταστρεψη A† | $14^2$ εαν κλειση] εαν δε και αποκλ(ε)ιση A†: cf. 15 | ανθρωπου A || $15^2$ δε] + και A† || $16^2$ cf. 13 || $17^1$ βουλ.] + γης A† || $18^1$ καθιζων A | θρονων Smu. | $18^2$ περιεδ.] περιεζωσεν compl., περιζωννυων αυτους A† | ↙ in Sy post περιεδ. || $19^1$] pr. ο A†: item in $22^1$ || $22^1$ o(cf. 19) ανακαλυπτων A† | βαθεια A†: cf. Thack. § 12, 7. 8 || $23^1$ > B*† | etiam $23^2$ sub ※ Sy; cf. Ciasca II, p. XXIV || $24^1$ γης > A†

ἐπλάνησεν δὲ αὐτοὺς ὁδῷ, ᾗ οὐκ ᾔδεισαν·
25 ψηλαφήσαισαν σκότος καὶ μὴ φῶς,
πλανηθείησαν δὲ ὥσπερ ὁ μεθύων.
13 1 ἰδοὺ ταῦτα ἑώρακέν μου ὁ ὀφθαλμὸς
καὶ ἀκήκοέν μου τὸ οὖς·
2 καὶ οἶδα ὅσα καὶ ὑμεῖς ἐπίστασθε,
καὶ οὐκ ἀσυνετώτερός εἰμι ὑμῶν.
3 οὐ μὴν δὲ ἀλλ᾽ ἐγὼ πρὸς κύριον λαλήσω,
ἐλέγξω δὲ ἐναντίον αὐτοῦ ἐὰν βούληται.
4 ὑμεῖς δέ ἐστε ἰατροὶ ἄδικοι
καὶ ἰαταὶ κακῶν πάντες.
5 εἴη δὲ ὑμῖν κωφεῦσαι,
καὶ ἀποβήσεται ὑμῖν εἰς σοφίαν.
6 ἀκούσατε ἔλεγχον στόματός μου,
κρίσιν δὲ χειλέων μου προσέχετε.
7 πότερον οὐκ ἔναντι κυρίου λαλεῖτε,
ἔναντι δὲ αὐτοῦ φθέγγεσθε δόλον;
8 ἢ ὑποστελεῖσθε;
ὑμεῖς δὲ αὐτοὶ κριταὶ γένεσθε.
9 καλόν γε, ἐὰν ἐξιχνιάσῃ ὑμᾶς·
εἰ γὰρ τὰ πάντα ποιοῦντες προστεθήσεσθε αὐτῷ,
10 οὐθὲν ἧττον ἐλέγξει ὑμᾶς·
εἰ δὲ καὶ κρυφῇ πρόσωπα θαυμάσετε,
11 πότερον οὐχὶ δεινὰ αὐτοῦ στροβήσει ὑμᾶς,
φόβος δὲ παρ᾽ αὐτοῦ ἐπιπεσεῖται ὑμῖν;
12 ἀποβήσεται δὲ ὑμῶν τὸ ἀγαυρίαμα ἴσα σποδῷ,
τὸ δὲ σῶμα πήλινον.
13 κωφεύσατε, ἵνα λαλήσω καὶ ἀναπαύσωμαι θυμοῦ
14 ἀναλαβὼν τὰς σάρκας μου τοῖς ὀδοῦσιν,
ψυχὴν δέ μου θήσω ἐν χειρί.
15 ἐάν με χειρώσηται ὁ δυνάστης, ἐπεὶ καὶ ἤρκται,

24$^{2}$ οδω] pr. εν B† | οδω / η ουκ ηδ.] tr. S† || 25$^{1}$ ψηλαφησειαν A† | μη] ου A†
13 1$^{2}$ ακηκ. μου το ους] το ους μου ακηκ. A(†) || 2$^{2}$] και γε νεωτερος υμων ουκ ειμι ασυνετωτερος υμων A† (γε in La sub ※) || 3$^{1}$ εγω post λαλησω tr. A† || 4$^{1}$ δε] γαρ A† || 5$^{2}$ εις σοφιαν] σοφια BS† || 6$^{1}$ ελεγχους S† | στομ.] pr. του B | 6$^{2}$ κρισει A† || 8$^{1}$ η] ει A† | 8$^{2}$ υμ. δε αυτοι] αυτοι υμεις A† | fin.] + καλως γε λαλουντες A† || 9$^{1}$ καλον γε εαν] κ. γαρ εαν S†, κ. γαρ B†, εαν γαρ A† | 9$^{2}$ γαρ] και A† | αυτω] οδω αυτου A† || 10$^{2}$ προσωπον A†: cf. 22 8 32 22 | θαυμασεσθε(uel -θαι) BS†; cf. 22 8 32 22 || 11$^{2}$ φοβ.] pr. ο BS*† | παρ αυτου] κυριου A† || 12$^{1}$ αποβ. δε] και αποβ. A†: cf. 3 12 | υμιν S† | αγαυριαμα (cf. 3 14$^{2}$)] γαυρ. SABc | ισον S || 13 θυμου] θυμω μου A† || 14$^{1}$] + μου A† | 14$^{2}$ χειρι] χερσιν SA† (+ μου A†) || 15$^{1}$ εαν] + μη A†



ἢ μὴν λαλήσω καὶ ἐλέγξω ἐναντίον αὐτοῦ·
16 καὶ τοῦτό μοι ἀποβήσεται εἰς σωτηρίαν,
οὐ γὰρ ἐναντίον αὐτοῦ δόλος εἰσελεύσεται.
17 ἀκούσατε ἀκούσατε τὰ ῥήματά μου·
ἀναγγελῶ γὰρ ὑμῶν ἀκουόντων.
18 ἰδοὺ ἐγὼ ἐγγύς εἰμι τοῦ κρίματός μου,
οἶδα ἐγὼ ὅτι δίκαιος ἀναφανοῦμαι.
19 τίς γάρ ἐστιν ὁ κριθησόμενός μοι;
※ὅτι νῦν κωφεύσω καὶ ἐκλείψω.↙
20 δυεῖν δέ μοι χρήσῃ·
※τότε ἀπὸ τοῦ προσώπου σου οὐ κρυβήσομαι·↙
21 τὴν χεῖρα ἀπ᾽ ἐμοῦ ἀπέχου,
καὶ ὁ φόβος σου μή με καταπλησσέτω.
22 εἶτα καλέσεις, ἐγὼ δέ σοι ὑπακούσομαι·
ἢ λαλήσεις, ἐγὼ δέ σοι δώσω ἀνταπόκρισιν.
23 πόσαι εἰσὶν αἱ ἁμαρτίαι μου καὶ αἱ ἀνομίαι μου;
δίδαξόν με τίνες εἰσίν.
24 διὰ τί ἀπ᾽ ἐμοῦ κρύπτῃ,
ἥγησαι δέ με ὑπεναντίον σοι;
25 ἢ ὡς φύλλον κινούμενον ὑπὸ ἀνέμου εὐλαβηθήσῃ
ἢ ὡς χόρτῳ φερομένῳ ὑπὸ πνεύματος ἀντίκεισαί μοι;
26 ὅτι κατέγραψας κατ᾽ ἐμοῦ κακά,
περιέθηκας δέ μοι νεότητος ἁμαρτίας,
27 ἔθου δέ μου τὸν πόδα ἐν κωλύματι,
ἐφύλαξας δέ μου πάντα τὰ ἔργα,
εἰς δὲ ῥίζας τῶν ποδῶν μου ἀφίκου·
28 ὃ παλαιοῦται ἴσα ἀσκῷ
ἢ ὥσπερ ἱμάτιον σητόβρωτον.
14 1 βροτὸς γὰρ γεννητὸς γυναικὸς ὀλιγόβιος καὶ πλήρης ὀργῆς
2 ἢ ὥσπερ ἄνθος ἀνθῆσαν ἐξέπεσεν,

15$^{2}$ η μην] ου μην δε αλλα A†: cf. 2 5 5 8 12 6 13 3 17 10 21 17 27 7 33 1 34 36 | ελεγξω] + υμας A† || 16$^{2}$ δολιος Gra. | εισελ. ante εναντ. tr. A† || 17$^{1}$ ακουσ. 1$^{0}$] + μου A† | τα ρημ. / μου] tr. A† | 17$^{2}$ υμων] pr. υμιν S† || 19$^{2}$ οτι] ινα A† || 20$^{1}$ χρηση] χρ(ε)ια A† | 20$^{2}$ ου > S || 21$^{1}$ χειρα] + σου A† | απ εμου απεχου] αποσχου απ εμου A(†) || 22$^{1}$ ειτα] ειτ αν B*†, εστ αν S*† | καλεση S*† | σοι] σου S*Bc† | υπακουω A† | 22$^{2}$ η > A† | ανταποκρ.] αντ > A†: cf. 34 36 et 16 8 32 12 || 23$^{1}$ αι 2$^{0}$ > A | 23$^{2}$ διδ. με / τιν. εισιν] tr. A† || 24$^{1}$ απ εμου κρυπτη] με αποκρυπτη A† | 24$^{2}$ ηγ. δε με] + ωσπερ A† | σου S*A || 25$^{1}$ ως] ωσπερ SA | ανεμου] pr. του S*† | 25$^{2}$ χορτον φερομενον A† | αντικεισε(pro -σαι) δε(sic) μοι ad 26 trahit A† || 26$^{2}$ περιεθι δε] και περ. A†: cf. 3 12 || 27$^{1}$ μου / τον ποδα] tr. S† | κυκλωματι A†: cf. 33 11 | 27$^{2}$ εφυλ. δε] και εφυλαξες(sic) A†: cf. 3 12 | 27$^{3}$ των > A† || 28$^{1}$ ο. παλαιουνται A†
14 1 γαρ γενν.] tr. S*†

ἀπέδρα δὲ ὥσπερ σκιὰ καὶ οὐ μὴ στῇ.
3 οὐχὶ καὶ τούτου λόγον ἐποιήσω
καὶ τοῦτον ἐποίησας εἰσελθεῖν ἐν κρίματι ἐνώπιόν σου;
4 τίς γὰρ καθαρὸς ἔσται ἀπὸ ῥύπου; ἀλλ᾽ οὐθείς.
5 ἐὰν καὶ μία ἡμέρα ὁ βίος αὐτοῦ ἐπὶ τῆς γῆς,
ἀριθμητοὶ δὲ μῆνες αὐτοῦ παρὰ σοί,
εἰς χρόνον ἔθου, καὶ οὐ μὴ ὑπερβῇ.
6 ἀπόστα ἀπ᾽ αὐτοῦ, ἵνα ἡσυχάσῃ
καὶ εὐδοκήσῃ τὸν βίον ὥσπερ ὁ μισθωτός.
7 ἔστιν γὰρ δένδρῳ ἐλπίς·
ἐὰν γὰρ ἐκκοπῇ, ἔτι ἐπανθήσει,
καὶ ὁ ῥάδαμνος αὐτοῦ οὐ μὴ ἐκλίπῃ·
8 ἐὰν γὰρ γηράσῃ ἐν γῇ ἡ ῥίζα αὐτοῦ,
ἐν δὲ πέτρᾳ τελευτήσῃ τὸ στέλεχος αὐτοῦ,
9 ἀπὸ ὀσμῆς ὕδατος ἀνθήσει,
ποιήσει δὲ θερισμὸν ὥσπερ νεόφυτον.
10 ἀνὴρ δὲ τελευτήσας ᾤχετο,
πεσὼν δὲ βροτὸς οὐκέτι ἔστιν.
11 χρόνῳ γὰρ σπανίζεται θάλασσα,
ποταμὸς δὲ ἐρημωθεὶς ἐξηράνθη·
12 ἄνθρωπος δὲ κοιμηθεὶς οὐ μὴ ἀναστῇ,
ἕως ἂν ὁ οὐρανὸς οὐ μὴ συρραφῇ·
※καὶ οὐκ ἐξυπνισθήσονται ἐξ ὕπνου αὐτῶν.↙
13 εἰ γὰρ ὄφελον ἐν ᾅδῃ με ἐφύλαξας,
ἔκρυψας δέ με, ἕως ἂν παύσηταί σου ἡ ὀργὴ
καὶ τάξῃ μοι χρόνον, ἐν ᾧ μνείαν μου ποιήσῃ.
14 ἐὰν γὰρ ἀποθάνῃ ἄνθρωπος, ζήσεται
συντελέσας ἡμέρας τοῦ βίου αὐτοῦ·
ὑπομενῶ, ἕως ἂν πάλιν γένωμαι.
15 εἶτα καλέσεις, ἐγὼ δέ σοι ὑπακούσομαι,
τὰ δὲ ἔργα τῶν χειρῶν σου μὴ ἀποποιοῦ.
16 ἠρίθμησας δέ μου τὰ ἐπιτηδεύματα,

3$^2$ εισελθ./εν κριμ.] tr. A† | ενωπιον] επι A† || 4 καθ. εσται] tr. A† | αλλ ουθεις] ουδε εις A† || 5$^1$ μια ημερα] μιας -ρας γενηται A† | 5$^2$ παρα σοι pau.] παρ αυτω A, παρ αυτου BS | 5$^3$ χρονον] + γαρ A† || 6$^1$ απ αυτου] απ εμου A† | ησυχασω A | 6$^2$ ευδοκησω μου τον β. A† | ο > A† || 7$^2$ γαρ] δε και A† | ετι] παλιν AS$^c$ | επανθ.] επ > A† || 8$^2$ εν] εαν A | πετραις A† || 9$^2$ ποιησει δε] και ποι. A†: cf. 3 12 || 10$^2$ πεσων δε] και πεσων A†: cf. 3 12 || 11$^2$] ποταμοι δε ερημωθεντες ξηρανθησονται A† || 12$^2$] pr. και ου μη εξεγερθη A† | ου μη συρρ.] παλαιωθη A† || 13$^1$ φυλαξ(ε)ις A† | 13$^2$ κρυψεις A† | εως] ε > S*† || 14$^2$ ημερας] pr. τας S$^c$pl. | 14$^3$ υπομενω] + σαι (= σε) A† | αν > B || 15$^1$ καλεσεις] + με A†



καὶ οὐ μὴ παρέλθῃ σε οὐδὲν τῶν ἁμαρτιῶν μου·
17 ἐσφράγισας δέ μου τὰς ἀνομίας ἐν βαλλαντίῳ,
ἐπεσημήνω δέ, εἴ τι ἄκων παρέβην.
18 ※καὶ πλὴν ὄρος πῖπτον διαπεσεῖται,
※καὶ πέτρα παλαιωθήσεται ἐκ τοῦ τόπου αὐτῆς·
19 ※λίθους ἐλέαναν ὕδατα,
※καὶ κατέκλυσεν ὕδατα ὕπτια τοῦ χώματος τῆς γῆς·
※καὶ ὑπομονὴν ἀνθρώπου ἀπώλεσας.↙
20 ὦσας αὐτὸν εἰς τέλος, καὶ ᾤχετο·
ἐπέστησας αὐτῷ τὸ πρόσωπον καὶ ἐξαπέστειλας·
21 πολλῶν δὲ γενομένων τῶν υἱῶν αὐτοῦ οὐκ οἶδεν,
ἐὰν δὲ ὀλίγοι γένωνται, οὐκ ἐπίσταται·
22 ἀλλ᾽ ἢ αἱ σάρκες αὐτοῦ ἤλγησαν,
ἡ δὲ ψυχὴ αὐτοῦ ἐπένθησεν.
15 1 Ὑπολαβὼν δὲ Ελιφας ὁ Θαιμανίτης λέγει
2 Πότερον σοφὸς ἀπόκρισιν δώσει συνέσεως πνεύματος
καὶ ἐνέπλησεν πόνον γαστρὸς
3 ἐλέγχων ἐν ῥήμασιν, οἷς οὐ δεῖ,
ἐν λόγοις, οἷς οὐδὲν ὄφελος;
4 οὐ καὶ σὺ ἀπεποιήσω φόβον,
συνετελέσω δὲ ῥήματα τοιαῦτα ἔναντι τοῦ κυρίου;
5 ἔνοχος εἶ ῥήμασιν στόματός σου
οὐδὲ διέκρινας ῥήματα δυναστῶν·
6 ἐλέγξαι σε τὸ σὸν στόμα καὶ μὴ ἐγώ,
τὰ δὲ χείλη σου καταμαρτυρήσουσίν σου.
7 τί γάρ; μὴ πρῶτος ἀνθρώπων ἐγενήθης;
ἢ πρὸ θινῶν ἐπάγης;
8 ἢ σύνταγμα κυρίου ἀκήκοας,
εἰς δὲ σὲ ἀφίκετο σοφία;
9 τί γὰρ οἶδας, ὃ οὐκ οἴδαμεν;

17$^1$ τας αμαρτιας S, τα αμαρτηματα A† | 17$^2$ επεσημ. δε] και επεσ. A†: cf. 3 12 || 18$^1$ διαπεσ.] δια > A† || 19$^1$ ελεανεν A† || 20$^2$] pr. και A† | προσωπον] + σου A† | εξαπεσταλη A† || 21$^2$ δε] τε A | επιστανται S* || 22$^2$ επενθ.] pr. επ αυτω A (idem add. Sym$^g$ ex α′ θ′ ante 22$^1$ ηλγησαν; idem add. La ante 22$^1$ ηλγ. sub ÷ [pro ※] et ante 22$^2$ επενθ. sub ※, cf. Lag. Mitth. 2, p. 207)
15 1 ελιφαζ SA: cf. 2 11$^3$ || 2$^1$ ποτερον] τινα αρα A† | πνευματος B*S$^c$A†] πνευμα rel. | 2$^2$ και ενεπλ.] εμπλησει δε A† || 3$^1$ ελεγχων] + με A† | οις ου δει] κενοις A† | 3$^2$] + εν αυτοις codex unus codici A cognatus (in O sub ※) || 4$^1$ ου] οτι A† | και > S$^c$ | 4$^2$ του > A† || 5$^2$ ουδε] -δεν S†, και ου A† | ρημα S*B$^c$† || 6$^1$ ελεγξη A† | 6$^2$ καταμαρτυρησουσιν BS†] -ρησε(= -σαι) A*†, -ρησει A$^c$†, -ρησαισαν rel. || 7$^1$ ανθρωπος A† | εγεννηθης AC || 8$^2$ εις δε] η εις A†: cf. 11 8

ἢ τί συνίεις, ὃ οὐχὶ καὶ ἡμεῖς;
10 ※καί γε πρεσβύτης καί γε παλαιὸς ἐν ἡμῖν
※βαρύτερος τοῦ πατρός σου ἡμέραις.⸔
11 ὀλίγα ὧν ἡμάρτηκας μεμαστίγωσαι,
μεγάλως ὑπερβαλλόντως λελάληκας.
12 τί ἐτόλμησεν ἡ καρδία σου,
ἢ τί ἐπήνεγκαν οἱ ὀφθαλμοί σου,
13 ὅτι θυμὸν ἔρρηξας ἔναντι κυρίου,
ἐξήγαγες δὲ ἐκ στόματος ῥήματα τοιαῦτα;
14 τίς γὰρ ὢν βροτός, ὅτι ἔσται ἄμεμπτος,
ἢ ὡς ἐσόμενος δίκαιος γεννητὸς γυναικός;
15 εἰ κατὰ ἁγίων οὐ πιστεύει,
οὐρανὸς δὲ οὐ καθαρὸς ἐναντίον αὐτοῦ.
16 ἔα δὲ ἐβδελυγμένος καὶ ἀκάθαρτος,
ἀνὴρ πίνων ἀδικίας ἴσα ποτῷ.
17 ἀναγγελῶ δέ σοι, ἄκουέ μου·
ἃ δὴ ἑώρακα, ἀναγγελῶ σοι,
18 ἃ σοφοὶ ἐροῦσιν καὶ οὐκ ἔκρυψαν πατέρας αὐτῶν·
19 αὐτοῖς μόνοις ἐδόθη ἡ γῆ,
καὶ οὐκ ἐπῆλθεν ἀλλογενὴς ἐπ᾽ αὐτούς.
20 πᾶς ὁ βίος ἀσεβοῦς ἐν φροντίδι,
ἔτη δὲ ἀριθμητὰ δεδομένα δυνάστῃ,
21 ὁ δὲ φόβος αὐτοῦ ἐν ὠσὶν αὐτοῦ·
ὅταν δοκῇ ἤδη εἰρηνεύειν,
ἥξει αὐτοῦ ἡ καταστροφή.
22 μὴ πιστευέτω ἀποστραφῆναι ἀπὸ σκότους·
ἐντέταλται γὰρ ἤδη εἰς χεῖρας σιδήρου,
23 κατατέτακται δὲ εἰς σῖτα γυψίν·
οἶδεν δὲ ἐν ἑαυτῷ ὅτι μένει εἰς πτῶμα.
ἡμέρα δὲ αὐτὸν σκοτεινὴ στροβήσει,
24 ἀνάγκη δὲ καὶ θλῖψις αὐτὸν καθέξει
ὥσπερ στρατηγὸς πρωτοστάτης πίπτων.

9² συνιεις] + συ Bc, συ νοεις unus cod., συ νοησεις A† | ουχι] ου B*S*† || 10² βαρυτ.] πρεσβυτερος A*† || 12¹ τι] + οτι A† | 12² τι] + σοι A† || 14¹ οτι > A† || 15¹ αγιων] + αυτου Sc† (in *O* sub ※) | 15¹ fin.] + μεμψις A† | 15² ουρ.] pr. ο A | fin.] add. stichum αστρα δε ουκ αμεμπτα A†: cf. **25** 5 || 16² αδικιαν A† || 17¹ αναγγελλω SA†: item A† in 17² | δε] ουν A† | ακ. μου] συ δε μου ακ. A† || 18 ερουσιν] ανηγγειλαν A† | και > B† | πατερες ACpl. || 19¹ αυτοις] + δε Scpl. || 20¹ ασεβων A† || 21² ειρηνευεσθαι A† | 21³] pr. τοτε A† | αυτου / η κατ.] tr. A || 22² εντετακται A† || 23¹] pr. stichum καταπιπτ(ε)ι δε εις εξαλη(pro ει)ψιν A†, cui sticho quidam in marg. adpinxit signum obelo simile: eundem stichum praeb. Sy sub ∽ | κατατ. δε] και κατατ. A†: cf. **3** 12 | 23² δε] γαρ S† | πτωσιν S† | 23³ δε > A† | αυτον / σκοτ. στροβ.] tr. A† || 24¹ και > S*† | 24² πιπτων] πεπτωκως A†



25 ὅτι ἦρκεν χεῖρας ἐναντίον τοῦ κυρίου,
ἔναντι δὲ κυρίου παντοκράτορος ἐτραχηλίασεν,
26 ἔδραμεν δὲ ἐναντίον αὐτοῦ ὕβρει
※ἐν πάχει νώτου ἀσπίδος αὐτοῦ,
27 ※ὅτι ἐκάλυψεν τὸ πρόσωπον αὐτοῦ ἐν στέατι αὐτοῦ
※καὶ ἐποίησεν περιστόμιον ἐπὶ τῶν μηρίων.⸔
28 αὐλισθείη δὲ πόλεις ἐρήμους,
εἰσέλθοι δὲ εἰς οἴκους ἀοικήτους·
ἃ δὲ ἐκεῖνοι ἡτοίμασαν, ἄλλοι ἀποίσονται.
29 οὔτε μὴ πλουτισθῇ, οὔτε μὴ μείνῃ αὐτοῦ τὰ ὑπάρχοντα·
οὐ μὴ βάλῃ ἐπὶ τὴν γῆν σκιὰν
30 οὐδὲ μὴ ἐκφύγῃ τὸ σκότος·
τὸν βλαστὸν αὐτοῦ μαράναι ἄνεμος,
ἐκπέσοι δὲ αὐτοῦ τὸ ἄνθος.
31 μὴ πιστευέτω ὅτι ὑπομενεῖ,
κενὰ γὰρ ἀποβήσεται αὐτῷ·
32 ἡ τομὴ αὐτοῦ πρὸ ὥρας φθαρήσεται,
καὶ ὁ ῥάδαμνος αὐτοῦ οὐ μὴ πυκάσῃ·
33 τρυγηθείη δὲ ὥσπερ ὄμφαξ πρὸ ὥρας,
ἐκπέσοι δὲ ὡς ἄνθος ἐλαίας.
34 μαρτύριον γὰρ ἀσεβοῦς θάνατος,
πῦρ δὲ καύσει οἴκους δωροδεκτῶν.
35 ἐν γαστρὶ δὲ λήμψεται ὀδύνας,
ἀποβήσεται δὲ αὐτῷ κενά,
ἡ δὲ κοιλία αὐτοῦ ὑποίσει δόλον.

**16** 1 Ὑπολαβὼν δὲ Ιωβ λέγει
2 Ἀκήκοα τοιαῦτα πολλά·
παρακλήτορες κακῶν πάντες.
3 τί γάρ; μὴ τάξις ἐστὶν ῥήμασιν πνεύματος;
※ἢ τί παρενοχλήσει σοι, ὅτι ἀποκρίνῃ;⸔
4 κἀγὼ καθ᾽ ὑμᾶς λαλήσω,
εἰ ὑπέκειτό γε ἡ ψυχὴ ὑμῶν ἀντὶ τῆς ἐμῆς·

25¹ εναντι A† | του > A || 26¹ δε > S*† || 27² μηρων SA (+ αυτου A†) | fin.] add. stichum αινος δε αυτου υβρις Amu. || 28² εισελθοι δε] και εισ. A†: cf. **3** 12 | 28³ εκεινος ητοιμασεν ASc† || 29¹ αυτου / τα υπαρχ.] tr. A† | 29² ου] ουδε A | την γην B*A†] την > S*Bc, γης CScpl.: cf. **16** 13 || 30¹ το > A† | 30² μαραινει A† | 30³ εκπ. δε] και εκπ. A†: item in 33², cf. **3** 12 || 31² αποβ. αυτω] tr. A† || 32¹ η τομη αυ. ad 31 trahit 𝔐 || 33¹ ωσπερ ACpl.] ως BS | 33² ως] ωσπερ A† || 34² καυσει] pr. κατα A || 35¹ εν γ. δε] και εκ(pro εν) γ. A†: cf. **3** 12 | λημψονται A† | 35³ υποισει] ουκ οισει S*† | δολον] πονον A†
**16** 4¹ καγω] και εγω δε A† | 4² υπεκ. γε] tr. AC(†) | εμης] + ψυχης A†

εἶτ᾽ ἐναλοῦμαι ὑμῖν ῥήμασιν,
κινήσω δὲ καθ᾽ ὑμῶν κεφαλήν·
5 εἴη δὲ ἰσχὺς ἐν τῷ στόματί μου,
κίνησιν δὲ χειλέων οὐ φείσομαι.
6 ἐὰν γὰρ λαλήσω, οὐκ ἀλγήσω τὸ τραῦμα·
ἐὰν δὲ καὶ σιωπήσω, τί ἔλαττον τρωθήσομαι;
7 νῦν δὲ κατάκοπόν με πεποίηκεν, μωρόν, σεσηπότα,
8 ※καὶ ἐπελάβου μου, εἰς μαρτύριον ἐγενήθη·
※καὶ ἀνέστη ἐν ἐμοὶ τὸ ψεῦδός μου,
※κατὰ πρόσωπόν μου ἀνταπεκρίθη.↙
9 ὀργῇ χρησάμενος κατέβαλέν με,
ἔβρυξεν ἐπ᾽ ἐμὲ τοὺς ὀδόντας,
βέλη πειρατῶν αὐτοῦ ἐπ᾽ ἐμοὶ ἔπεσεν.
10 ἀκίσιν ὀφθαλμῶν ἐνήλατο,
ὀξεῖ ἔπαισέν με εἰς σιαγόνα,
ὁμοθυμαδὸν δὲ κατέδραμον ἐπ᾽ ἐμοί.
11 παρέδωκεν γάρ με ὁ κύριος εἰς χεῖρας ἀδίκου,
ἐπὶ δὲ ἀσεβέσιν ἔρριψέν με·
12 εἰρηνεύοντα διεσκέδασέν με,
λαβών με τῆς κόμης διέτιλεν,
κατέστησέν με ὥσπερ σκοπόν.
13 ἐκύκλωσάν με λόγχαις
βάλλοντες εἰς νεφρούς μου οὐ φειδόμενοι,
ἐξέχεαν εἰς τὴν γῆν τὴν χολήν μου·
14 κατέβαλόν με πτῶμα ἐπὶ πτώματι,
ἔδραμον πρός με δυνάμενοι.
15 σάκκον ἔρραψα ἐπὶ βύρσης μου,
τὸ δὲ σθένος μου ἐν γῇ ἐσβέσθη.
16 ἡ γαστήρ μου συγκέκαυται ἀπὸ κλαυθμοῦ,
ἐπὶ δὲ βλεφάροις μου σκιά.
17 ἄδικον δὲ οὐδὲν ἦν ἐν χερσίν μου,
εὐχὴ δέ μου καθαρά.
18 γῆ, μὴ ἐπικαλύψῃς ἐφ᾽ αἵματι τῆς σαρκός μου,

4$^{3}$ ρημ.] λογοις A† || 5$^{2}$ κιν. δε] και κειν. A†: cf. **3** 12 | χειλ.] + μου S* || 6$^{1}$ τραυμα] + μου ASc† (in *O* sub ※) | 6$^{2}$ ελασσον S || 8$^{1}$ εις] pr. και S*† | εγενηθην SA || 9$^{2}$ εβρυξεν] + δε A† | επ εμε .. (9$^{3}$) .. επ εμοι] tr. S(†) | 9$^{2}$ fin.] + αυτου A† | 9$^{3}$ πειρατων] -τηριων A† || 10$^{2}$ εις σιαγονα Ra. (sim. Gra. et α′σ′)] εις τα γονατα BS†, επι τα γονατα rel. | 10$^{3}$ δε] δη S | επ εμε A: cf. 9$^{2.3}$ || 11$^{1}$ αδικων Sc | 11$^{2}$ ασεβεις A† || 13$^{3}$ την γην] την > SA mu.: cf. **15** 29 | χολην] ζωην ASc† || 14$^{1}$ πτωμα > S*† | 14$^{2}$ προς (ε)με] επ εμε A† | δυνατοι A† || 15$^{1}$ ερραψα Gra.] -ψαν mss., sed ASc† ερ(ρ)ιψαν | βυρση ASc | 15$^{2}$ εις γην εσβεσαν A† || 16$^{2}$ βλεφαρων A† | σκια] + θανατου ASc compl. (in *O* sub ※) || 17$^{1}$ δε] γαρ A† || 18$^{1}$ της > A†



μηδὲ εἴη τόπος τῇ κραυγῇ μου.
19 καὶ νῦν ἰδοὺ ἐν οὐρανοῖς ὁ μάρτυς μου,
ὁ δὲ συνίστωρ μου ἐν ὑψίστοις.
20 ἀφίκοιτό μου ἡ δέησις πρὸς κύριον,
ἔναντι δὲ αὐτοῦ στάζοι μου ὁ ὀφθαλμός.
21 εἴη δὲ ἔλεγχος ἀνδρὶ ἔναντι κυρίου
※καὶ υἱὸς ἀνθρώπου τῷ πλησίον αὐτοῦ.↙
22 ἔτη δὲ ἀριθμητὰ ἥκασιν,
ὁδῷ δέ, ᾗ οὐκ ἐπαναστραφήσομαι, πορεύσομαι.
17 1 ὀλέκομαι πνεύματι φερόμενος,
δέομαι δὲ ταφῆς καὶ οὐ τυγχάνω.
2 λίσσομαι κάμνων, καὶ τί ποιήσας;
3 ἔκλεψαν δέ μου τὰ ὑπάρχοντα ἀλλότριοι.
※τίς ἐστιν οὗτος; τῇ χειρί μου συνδεθήτω.
4 ※ὅτι καρδίαν αὐτῶν ἔκρυψας ἀπὸ φρονήσεως,
※διὰ τοῦτο οὐ μὴ ὑψώσῃς αὐτούς.
5 ※τῇ μερίδι ἀναγγελεῖ κακίας,↙
ὀφθαλμοὶ δέ μου ἐφ᾽ υἱοῖς ἐτάκησαν.
6 ἔθου δέ με θρύλημα ἐν ἔθνεσιν,
γέλως δὲ αὐτοῖς ἀπέβην·
7 πεπώρωνται γὰρ ἀπὸ ὀργῆς οἱ ὀφθαλμοί μου,
πεπολιόρκημαι μεγάλως ὑπὸ πάντων.
8 θαῦμα ἔσχεν ἀληθινοὺς ἐπὶ τούτῳ·
δίκαιος δὲ ἐπὶ παρανόμῳ ἐπανασταίη·
9 σχοίη δὲ πιστὸς τὴν ἑαυτοῦ ὁδόν,
καθαρὸς δὲ χεῖρας ἀναλάβοι θάρσος.
10 οὐ μὴν δὲ ἀλλὰ πάντες ἐρείδετε, ※καὶ δεῦτε δή·↙
οὐ γὰρ εὑρίσκω ἐν ὑμῖν ἀληθές.
11 αἱ ἡμέραι μου παρῆλθον ἐν βρόμῳ,
ἐρράγη δὲ τὰ ἄρθρα τῆς καρδίας μου.
12 ※νύκτα εἰς ἡμέραν ἔθηκαν,
※φῶς ἐγγὺς ἀπὸ προσώπου σκότους.↙

18$^{2}$ της κραυγης A || 19—17 12 > S*† || 19$^{1}$ ουρανω Ss† | μου > A† || 20$^{1}$ μου / η δεη. et 20$^{2}$ μου / ο οφθ.] tr. A† | 20$^{2}$ σταξαι A† || 21$^{1}$ ελεγχος ανδρι] ο ελ. μου A† | 21$^{2}$ > Ss† | υιος A*O*†] υιω rel. || 22$^{1}$ ηκασιν] ηκουσιν μοι A(†)

**17** 2 ποιησας BSsC†] -σω A rel. (sic etiam corrector posterior codicis S) || 3$^{1}$ τα υπαρχ. / αλλοτριοι] tr. A† || 4$^{1}$ εκρυψαν A | 4$^{2}$ ου] ουν A† || 5$^{2}$ μου > B*O*† || 6$^{1}$ δε > A† | 6$^{2}$] και απεβην αυτοις γελος(sic) A†: cf. **3** 12 || 7$^{1}$ πεπηρωνται ASs† | γαρ] δε A† | οργης] + σου A† | 7$^{2}$] pr. και A† | μεγ. / υπο παντων] tr. A† || 8$^{1}$ θαυμα] + δε Ss | τουτω BSs†] τουτοις rel. | 8$^{2}$] δικαιω γαρ παρανομος επανεστη A† || 9$^{2}$ καθ. δε] και ο καθ. A†: cf. **3** 12 | χερσιν A† || 10$^{1}$ ερειδ.] κριναται(pro -τε) Ss† | δη > A† | 10$^{2}$ ευρισκω] εστιν Ss† || 11$^{1}$ αι] και A† | βρομω] δρομω A || 12$^{1}$ εθηκαν A*O*†] ν > rel.

13 ἐὰν γὰρ ὑπομείνω, ᾅδης μου ὁ οἶκος,
ἐν δὲ γνόφῳ ἔστρωταί μου ἡ στρωμνή.
14 θάνατον ἐπεκαλεσάμην πατέρα μου εἶναι,
μητέρα δέ μου καὶ ἀδελφὴν σαπρίαν.
15 ποῦ οὖν μου ἔτι ἐστὶν ἡ ἐλπίς;
ἢ τὰ ἀγαθά μου ὄψομαι;
16 ἢ μετ' ἐμοῦ εἰς ᾅδην καταβήσονται,
※ἢ ὁμοθυμαδὸν ἐπὶ χώματος καταβησόμεθα;↙

**18** 1 Ὑπολαβὼν δὲ Βαλδαδ ὁ Σαυχίτης λέγει
2 Μέχρι τίνος οὐ παύσῃ;
ἐπίσχες, ἵνα καὶ αὐτοὶ λαλήσωμεν.
3 διὰ τί ὥσπερ τετράποδα σεσιωπήκαμεν ἐναντίον σου;
4 κέχρηταί σοι ὀργή.
τί γάρ; ἐὰν σὺ ἀποθάνῃς, ἀοίκητος ἡ ὑπ' οὐρανόν;
ἢ καταστραφήσεται ὄρη ἐκ θεμελίων;
5 καὶ φῶς ἀσεβῶν σβεσθήσεται,
καὶ οὐκ ἀποβήσεται αὐτῶν ἡ φλόξ·
6 τὸ φῶς αὐτοῦ σκότος ἐν διαίτῃ,
ὁ δὲ λύχνος ἐπ' αὐτῷ σβεσθήσεται.
7 θηρεύσαισαν ἐλάχιστοι τὰ ὑπάρχοντα αὐτοῦ,
σφάλαι δὲ αὐτοῦ ἡ βουλή.
8 ἐμβέβληται δὲ ὁ πούς αὐτοῦ ἐν παγίδι·
ἐν δικτύῳ ἑλιχθείη.
9 ἔλθοισαν δὲ ἐπ' αὐτὸν παγίδες·
※κατισχύσει ἐπ' αὐτὸν διψῶντας.
10 ※κέκρυπται ἐν τῇ γῇ σχοινίον αὐτοῦ
※καὶ ἡ σύλλημψις αὐτοῦ ἐπὶ τρίβων.↙
11 κύκλῳ ὀλέσαισαν αὐτὸν ὀδύναι,
πολλοὶ δὲ περὶ πόδας αὐτοῦ ἔλθοισαν ἐν λιμῷ στενῷ.

13$^{1}$ αδης μου ο οικος] ο οικ. μου αδ. S*† || 14$^{1}$ επεκαλεσαμην] προσεκ. S (S*† om. μην)ABc || 15$^{1}$ εστιν / η ελπ.] tr. S†, εστιν > A† | 15$^{2}$] + ετι A† || 16$^{1}$ αδην] pr. τον A† | καταβησονται] -σεται A
**18** 1 βαλδαδ: cf. **2** 11$^{4}$ | σαυχιτης] σ > A†: item AV(†) in **42** 17e, sed in **8** 1 **25** 1 **42** 9 etiam A σαυχιτης, cf. **2** 11$^{4}$ || 3 δια] ινα A† | τι] + δε A || 4$^{1}$ κεχρηται] κεχρη (sic) A† | σοι] σε δε ASc(†) | 4$^{2}$ γαρ εαν / συ] tr. S*† | η υπ ουρ.] pr. εσται AC†, + εσται Bc† | 4$^{3}$ ορη] η γη A† || 5$^{2}$ αναβησ. A† | αυ- του A† || 6$^{1}$] + αυτου A | 6$^{2}$ λυχν.] + αυτου A† = 𝔐 | επ > B*† || 7$^{1}$ θηρευσ⟨ε⟩ιαν A† | ελαχ. / τα υπ. αυ.] tr. A† | 7$^{2}$ σφαλαι δε] και σφαλ⟨ε⟩ιη (cf. Thack. p. 286) A†: cf. **3** 12 || 8$^{1}$ εμβεβλ. BS†] εμβληθειη rel. | 8$^{2}$] pr. και A CSc† | ειλιχθ. A†: cf. Thack. p. 266 || 9$^{1}$ δε > S | 9$^{1}$ fin.] + κυκλοθεν A | 9$^{2}$] pr. και A† | κατισχυσουσιν et διψωντες A† || 10$^{1}$ κεκρ.] + δε A || 11$^{1}$ κυκλω] κυκλοθεν (ad 10 tractum, cf. 9$^{1}$) και A† | ολεσ⟨ε⟩ιαν A†: cf. 18 | 11$^{2}$ πολλων A† | ποδας] ς > BS | αυτου > A† | ελθοισαν εν] ελθοι (sic) A†



12 πτῶμα δὲ αὐτῷ ἡτοίμασται ἐξαίσιον.
13 βρωθείησαν αὐτοῦ κλῶνες ποδῶν,
κατέδεται δὲ τὰ ὡραῖα αὐτοῦ θάνατος.
14 ἐκραγείη δὲ ἐκ διαίτης αὐτοῦ ἴασις,
σχοίη δὲ αὐτὸν ἀνάγκη αἰτίᾳ βασιλικῇ.
15 ※κατασκηνώσει ἐν τῇ σκηνῇ αὐτοῦ ἐν νυκτὶ αὐτοῦ,
※κατασπαρήσονται τὰ εὐπρεπῆ αὐτοῦ θείῳ.
16 ※ὑποκάτωθεν αἱ ῥίζαι αὐτοῦ ξηρανθήσονται,
※καὶ ἐπάνωθεν ἐπιπεσεῖται θερισμὸς αὐτοῦ.↙
17 τὸ μνημόσυνον αὐτοῦ ἀπόλοιτο ἐκ γῆς,
※καὶ ὑπάρχει ὄνομα αὐτῷ ἐπὶ πρόσωπον ἐξωτέρω.↙
18 ἀπώσειεν αὐτὸν ἐκ φωτὸς εἰς σκότος.
19 οὐκ ἔσται ἐπίγνωστος ἐν λαῷ αὐτοῦ,
οὐδὲ σεσῳσμένος ἐν τῇ ὑπ' οὐρανὸν ὁ οἶκος αὐτοῦ,
ἀλλ' ἐν τοῖς αὐτοῦ ζήσονται ἕτεροι.
20 ἐπ' αὐτῷ ἐστέναξαν ἔσχατοι,
πρώτους δὲ ἔσχεν θαῦμα.
21 οὗτοί εἰσιν οἶκοι ἀδίκων,
οὗτος δὲ ὁ τόπος τῶν μὴ εἰδότων τὸν κύριον.

**19** 1 Ὑπολαβὼν δὲ Ιωβ λέγει
2 Ἕως τίνος ἔγκοπον ποιήσετε ψυχήν μου
καὶ καθαιρεῖτέ με λόγοις;
3 γνῶτε μόνον ὅτι ὁ κύριος ἐποίησέ με οὕτως·
καταλαλεῖτέ μου, οὐκ αἰσχυνόμενοί με ἐπίκεισθέ μοι.
4 ναὶ δὴ ἐπ' ἀληθείας ἐγὼ ἐπλανήθην,
παρ' ἐμοὶ δὲ αὐλίζεται πλάνος
4a λαλῆσαι ῥῆμα, ὃ οὐκ ἔδει,
τὰ δὲ ῥήματά μου πλανᾶται καὶ οὐκ ἐπὶ καιροῦ.
5 ἔα δὲ ὅτι ἐπ' ἐμοὶ μεγαλύνεσθε,
ἐνάλλεσθε δέ μοι ὀνείδει.
6 γνῶτε οὖν ὅτι ὁ κύριός ἐστιν ὁ ταράξας,
ὀχύρωμα δὲ αὐτοῦ ἐπ' ἐμὲ ὕψωσεν.

12 πτωμα δε] και πτ. A†: cf. **3** 12 | αυτω ητοιμ.] tr. S† | ητοιμαστο A† || 13$^{2}$ δε > S | ωραια] ωμια A† | αυτου ante τα tr. A mu. | θαν.] pr. πρωιμος codex unus codici A cognatus (in O sub ※) || 14$^{2}$ αιτια] pr. και A || 15$^{1}$ εν νυκτι] και εν σωματι A† | 15$^{2}$ κατασπαρησεται A† | θ(ε)ιω BSA†] pr. εν rel. || 17$^{1}$ απολ⟨ε⟩ιται S*† || 18] pr. και A† | απωσ⟨ε⟩ιαν A: cf. 11$^{1}$ || 19$^{1}$ λαω] pr. τω A† || 21$^{1}$ οικοι] pr. οι BS | 21$^{2}$ ο > A†
**19** 2$^{1}$ τινος] ποτε A† | εποιησατε S† | ψυχην] pr. την A | 2$^{2}$ καθελειται (pro -τε) A† || 3$^{1}$ ο > S† | με] μοι A | ουτως > S*† | 3$^{2}$] pr. και A† | μου] με A† | επικ.] pr. και A || 4$^{1}$ επ αληθ. / εγω] tr. A† | 4$^{2}$ παρ εμοι δε] και εν εμοι A†: cf. **3** 12 | αυλισθησεται S*† || 4a$^{1}$ ρηματα α B† || 6$^{1}$ ουν > A† | ο 1$^{0}$ > SBc | ταρ.] + με ASc

7 ἰδοὺ γελῶ ὀνείδει καὶ οὐ λαλήσω·
κεκράξομαι, καὶ οὐδαμοῦ κρίμα.
8 κύκλῳ περιῳκοδόμημαι καὶ οὐ μὴ διαβῶ,
ἐπὶ πρόσωπόν μου σκότος ἔθετο.
9 τὴν δὲ δόξαν ἀπ᾽ ἐμοῦ ἐξέδυσεν,
ἀφεῖλεν δὲ στέφανον ἀπὸ κεφαλῆς μου.
10 διέσπασέν με κύκλῳ, καὶ ᾠχόμην·
ἐξέκοψεν δὲ ὥσπερ δένδρον τὴν ἐλπίδα μου.
11 δεινῶς δέ μοι ὀργῇ ἐχρήσατο,
ἡγήσατο δέ με ὥσπερ ἐχθρόν.
12 ὁμοθυμαδὸν δὲ ἦλθον τὰ πειρατήρια αὐτοῦ ἐπ᾽ ἐμοὶ ταῖς ὁδοῖς μου,
ἐκύκλωσάν με ἐγκάθετοι.
13 ἀπ᾽ ἐμοῦ δὲ ἀδελφοί μου ἀπέστησαν,
ἔγνωσαν ἀλλοτρίους ἢ ἐμέ·
φίλοι δέ μου ἀνελεήμονες γεγόνασιν.
14 οὐ προσεποιήσαντό με οἱ ἐγγύτατοί μου,
καὶ οἱ εἰδότες μου τὸ ὄνομα ἐπελάθοντό μου.
15 γείτονες οἰκίας θεράπαιναί τέ μου,
ἀλλογενὴς ἤμην ἐναντίον αὐτῶν.
16 θεράποντά μου ἐκάλεσα, καὶ οὐχ ὑπήκουσεν·
στόμα δέ μου ἐδέετο.
17 καὶ ἱκέτευον τὴν γυναῖκά μου,
προσεκαλούμην δὲ κολακεύων υἱοὺς παλλακίδων μου·
18 οἱ δὲ εἰς τὸν αἰῶνά με ἀπεποιήσαντο·
ὅταν ἀναστῶ, κατ᾽ ἐμοῦ λαλοῦσιν.
19 ἐβδελύξαντο δέ με οἱ εἰδότες με·
οὓς δὴ ἠγαπήκειν, ἐπανέστησάν μοι.
20 ἐν δέρματί μου ἐσάπησαν αἱ σάρκες μου,
τὰ δὲ ὀστᾶ μου ἐν ὀδοῦσιν ἔχεται.

7$^1$ γελω] λαλω ASc†, λεγω unus cod. | ονειδη ABc || 8$^2$ επι] + δε A† | προσωπον] -που S; ατραπους A† = 𝔐, cf. Field et 24 13 6 19 || 9$^1$ δε > A† | δοξαν] + μου A | 9$^2$ αφειλεν δε] και αφ. A†: cf. 3 12 || 10$^1$ διεσπ.] + δε ASc || 11$^1$ δε > A† | 11$^2$ > S*† || 12$^1$ δε > A† | ηλθ. τα πειρ. / αυτου] tr. A (A† ηλθεν) | επ εμε A(†) | ταις οδ. μου ad 12$^2$ trahit B | 12$^2$ με > B† || 13$^1$ δε > BS (S, non B, trahit απ εμου ad 12$^2$) | αδ. μου απεστ.] απεστ. αδ. A† | 13$^3$ φιλοι] pr. οι A† || 14$^1$] pr. και A† | προσεποι.] προσειδον S† | 14$^2$ και > A† | (ε)ιδοντες B*ASc†: cf. 19 20 7 || 15$^1$ οικ⟨ε⟩ιοι A† | 15$^2$ ημην] εγενομην A† || 16$^1$ θεραποντα] -τας δε A† | υπηκουσεν] -σαν μου A(†) | 16$^2$ εδεετο] εδεειτο (cf. Thack. p. 243) αυτων A† || 17$^2$ προσεκ. δε] και πρ. A†: cf. 3 12 || 18$^1$ με απεποι.] tr. B*†, με > S*† | απ⟨ε⟩ιπαντο A† || 19$^1$ δε > B | (ε)ιδοτες] ιδοντες BS: cf. 14 | 19$^2$ ους δη] ους δε S; και ους A†: cf. 3 12 | ηγαπων A† || 20$^1$ αι > A† | 20$^2$ οδουσιν] οδυναις A†



21 ἐλεήσατέ με, ἐλεήσατέ με, ὦ φίλοι·
χεὶρ γὰρ κυρίου ἡ ἁψαμένη μού ἐστιν.
22 διὰ τί δέ με διώκετε ὥσπερ καὶ ὁ κύριος,
ἀπὸ δὲ σαρκῶν μου οὐκ ἐμπίπλασθε;
23 τίς γὰρ ἂν δῴη γραφῆναι τὰ ῥήματά μου,
τεθῆναι δὲ αὐτὰ ἐν βιβλίῳ εἰς τὸν αἰῶνα
24 ※ἐν γραφείῳ σιδηρῷ καὶ μολίβῳ✓
ἢ ἐν πέτραις ἐγγλυφῆναι;
25 οἶδα γὰρ ὅτι ἀέναός ἐστιν ὁ ἐκλύειν με μέλλων ἐπὶ γῆς.
26 ἀναστῆσαι τὸ δέρμα μου τὸ ἀνατλῶν ταῦτα·
παρὰ γὰρ κυρίου ταῦτά μοι συνετελέσθη,
27 ἃ ἐγὼ ἐμαυτῷ συνεπίσταμαι,
ἃ ὁ ὀφθαλμός μου ἑόρακεν καὶ οὐκ ἄλλος·
πάντα δέ μοι συντετέλεσται ἐν κόλπῳ.
28 εἰ δὲ καὶ ἐρεῖτε Τί ἐροῦμεν ἔναντι αὐτοῦ;
※καὶ ῥίζαν λόγου εὑρήσομεν ἐν αὐτῷ·✓
29 εὐλαβήθητε δὴ καὶ ὑμεῖς ἀπὸ ἐπικαλύμματος·
θυμὸς γὰρ ἐπ᾽ ἀνόμους ἐπελεύσεται,
καὶ τότε γνώσονται ποῦ ἐστιν αὐτῶν ἡ ὕλη.
20 1 Ὑπολαβὼν δὲ Σωφαρ ὁ Μιναῖος λέγει
2 Οὐχ οὕτως ὑπελάμβανον ἀντερεῖν σε ταῦτα,
καὶ οὐχὶ συνίετε μᾶλλον ἢ καὶ ἐγώ.
3 ※παιδείαν ἐντροπῆς μου ἀκούσομαι,
※καὶ πνεῦμα ἐκ τῆς συνέσεως ἀποκρίνεταί μοι.
4 ※μὴ ταῦτα ἔγνως ἀπὸ τοῦ ἔτι✓
ἀφ᾽ οὗ ἐτέθη ἄνθρωπος ἐπὶ τῆς γῆς;
5 εὐφροσύνη γὰρ ἀσεβῶν πτῶμα ἐξαίσιον,
χαρμονὴ δὲ παρανόμων ἀπώλεια,
6 ἐὰν ἀναβῇ εἰς οὐρανὸν αὐτοῦ τὰ δῶρα,

21$^1$ ελεησ. με 1$^0$] εγγισατε μοι A(†) (cf. Field), sed post φιλοι add. ελεησατε με | 21$^2$ η αψ. μου / εστιν] tr. A† || 22$^1$ δε > BS | και ο > S*† || 23$^1$ αν > S*† | 23$^2$ βιβλω S || 24$^1$ σιδηριω S† | και] η A† | 24$^2$ > B*† || 25 επι γης ad 26 trahit B || 26$^1$ αναστησαι ad 25 trahit S | init. — μου] αναστησ(ε)ι δε μου το σωμα ASc† | ανατλων (uel -τλουν: cf. Thack. § 22, 1) *O* compl.] αναντλουν BASc, αντλουν S* | 26$^2$ γαρ > S† | ταυτα μοι] tr. A† || 27$^2$ ο > S* | οι οφθαλμοι et εορακασιν A† | 27$^3$ παν S*† | κολπω] λ > S*† || 28$^1$ εναντι BS*†] -τιον rel. || 29$^1$ δη] δε S*A† | επικαλ.] κριματος A†: idem pr. uid. Sc† | 29$^2$ ανομοις A† | 29$^3$ που — fin.] οτι ουδαμου αυτων η ισχυς εστιν A† | εστιν / αυ. η υλη] tr. S†

20 2$^1$ αντερειν] pr. σε ειναι και A† | 2$^2$ συνιεναι ASc | και ult. > A || 3+4$^1$ in Sy La sub ※ (Sy excipit 3$^2$ αποκριν. μοι), sed adsunt etiam in Sa: cf. 30 22 || 3$^1$ μου] σου ASc† | 3$^2$ συνεσ.] + σου A† | αποκριθησεται B*† || 4$^1$ απο του ετι > S† || 5$^1$ γαρ] δε BS† | 5$^2$ παραν.] ασεβων A† || 6$^1$ αυτου / τα δωρα] tr. A†

ἡ δὲ θυσία αὐτοῦ νεφῶν ἅψηται.
7 ὅταν γὰρ δοκῇ ἤδη κατεστηρίχθαι,
τότε εἰς τέλος ἀπολεῖται·
οἱ δὲ ἰδόντες αὐτὸν ἐροῦσιν Ποῦ ἐστιν;
8 ὥσπερ ἐνύπνιον ἐκπετασθὲν οὐ μὴ εὑρεθῇ,
ἔπτη δὲ ὥσπερ φάσμα νυκτερινόν.
9 ※ὀφθαλμὸς παρέβλεψεν καὶ οὐ προσθήσει,
※καὶ οὐκέτι προσνοήσει αὐτὸν ὁ τόπος αὐτοῦ.↙
10 τοὺς υἱοὺς αὐτοῦ ὀλέσαισαν ἥττονες,
αἱ δὲ χεῖρες αὐτοῦ πυρσεύσαισαν ὀδύνας.
11 ※ὀστᾶ αὐτοῦ ἐνεπλήσθησαν νεότητος αὐτοῦ,
※καὶ μετ᾽ αὐτοῦ ἐπὶ χώματος κοιμηθήσεται.
12 ※ἐὰν γλυκανθῇ ἐν στόματι αὐτοῦ κακία,
※κρύψει αὐτὴν ὑπὸ τὴν γλῶσσαν αὐτοῦ·
13 ※οὐ φείσεται αὐτῆς καὶ οὐκ ἐγκαταλείψει αὐτὴν
※καὶ συνέξει αὐτὴν ἐν μέσῳ τοῦ λάρυγγος αὐτοῦ.↙
14 καὶ οὐ μὴ δυνηθῇ βοηθῆσαι ἑαυτῷ·
※χολὴ ἀσπίδος ἐν γαστρὶ αὐτοῦ.↙
15 πλοῦτος ἀδίκως συναγόμενος ἐξεμεσθήσεται,
ἐξ οἰκίας αὐτοῦ ἐξελκύσει αὐτὸν ἄγγελος.
16 θυμὸν δὲ δρακόντων θηλάσειεν,
ἀνέλοι δὲ αὐτὸν γλῶσσα ὄφεως.
17 μὴ ἴδοι ἄμελξιν νομάδων
μηδὲ νομὰς μέλιτος καὶ βουτύρου.
18 εἰς κενὰ καὶ μάταια ἐκοπίασεν πλοῦτον, ἐξ οὗ οὐ γεύσεται,
ὥσπερ στρίφνος ἀμάσητος ἀκατάποτος.
19 πολλῶν γὰρ ἀδυνάτων οἴκους ἔθλασεν,
δίαιταν δὲ ἥρπασεν καὶ οὐκ ἔστησεν.
20 οὐκ ἔστιν αὐτοῦ σωτηρία τοῖς ὑπάρχουσιν,

$7^1$ γαρ > A | κατεστηρ. BS†] κατ > rel. | $7^3$ ιδοντες S(†)] ιδοτες A†, ειδοτες BOpl.: cf. 19 14 || $8^2$ φασμα] θαυμα S*†, φαντασμα A† = *phantasma* La; cf. 33 15 || $9^1$ προσθησεται S*† | $9^2$ ουκετι] ου A†, sed post αυτου add. A† ουκετι || $10^1$ ολεσ.] θλασ⟨ε⟩ιαν A† | $10^2$ πυρσ.] ψηλαφησουσιν A† | οδυναις B*S*† || $11^1$ ενεπλησθησαν] θησ > S*†, σαν > A† || $12^1$ εαν γλυκ.] εγλυκ. A† || $13^1$ ου > La† | $13^2$ συνεξει compl.] συναξει BSA || $14^2$ fin.] + και πονος A || $15^1$ fin.] + εκ κοιλιας αυτου A†: = M מבטנו, sed $15^2$ εξ οικιας (+ δε A†) αυτου retinet A | $15^2$ αγγελος] + θανατου A† || $16^1$ θυμος A† | θηλασει A† | $16^2$ ανελοι δε] και αν. A†: cf. 3 12 || $18^1$ πλουτον] pr. σχοιη δε A | $18^2$ στρυχνον αμασητον ακαταπατητον A†: lectiones στριφνος et στρυχνον notantur in Symg, ambae literis graecis || $19^1$ αδυνατων] δυν. BS*† | $19^2$ δε] + αυτων ASc || $20^1$ init.] pr. δια τουτο ASc†: ex $21^2$, ubi A† haec om. (cf. inf.) | εστιν] εστη A† | αυτου(A† -τω) σωτ.] tr. S† | τοις υπαρχ.] εν τ. υπ. αυτου A†



※ἐν ἐπιθυμίᾳ αὐτοῦ οὐ σωθήσεται.
21 ※οὐκ ἔστιν ὑπόλειμμα τοῖς βρώμασιν αὐτοῦ·↙
διὰ τοῦτο οὐκ ἀνθήσει αὐτοῦ τὰ ἀγαθά.
22 ὅταν δὲ δοκῇ ἤδη πεπληρῶσθαι, θλιβήσεται,
πᾶσα δὲ ἀνάγκη ἐπ᾽ αὐτὸν ἐπελεύσεται.
23 ※εἴ πως πληρώσαι γαστέρα αὐτοῦ,↙
ἐπαποστείλαι ἐπ᾽ αὐτὸν θυμὸν ὀργῆς,
νίψαι ἐπ᾽ αὐτὸν ὀδύνας·
24 καὶ οὐ μὴ σωθῇ ἐκ χειρὸς σιδήρου,
τρώσαι αὐτὸν τόξον χάλκειον·
25 διεξέλθοι δὲ διὰ σώματος αὐτοῦ βέλος,
ἀστραπαὶ δὲ ἐν διαίταις αὐτοῦ περιπατήσαισαν·
※ἐπ᾽ αὐτῷ φόβοι.↙
26 πᾶν δὲ σκότος αὐτῷ ὑπομείναι·
κατέδεται αὐτὸν πῦρ ἄκαυστον,
κακώσαι δὲ αὐτοῦ ἐπήλυτος τὸν οἶκον.
27 ἀνακαλύψαι δὲ αὐτοῦ ὁ οὐρανὸς τὰς ἀνομίας,
γῆ δὲ ἐπαναστταίη αὐτῷ.
28 ἑλκύσαι τὸν οἶκον αὐτοῦ ἀπώλεια εἰς τέλος,
ἡμέρα ὀργῆς ἐπέλθοι αὐτῷ.
29 αὕτη ἡ μερὶς ἀνθρώπου ἀσεβοῦς παρὰ κυρίου
καὶ κτῆμα ὑπαρχόντων αὐτῷ παρὰ τοῦ ἐπισκόπου.
21 1 Ὑπολαβὼν δὲ Ιωβ λέγει
2 Ἀκούσατε ἀκούσατέ μου τῶν λόγων,
ἵνα μὴ ᾖ μοι παρ᾽ ὑμῶν αὕτη ἡ παράκλησις.
3 ἄρατέ με, ἐγὼ δὲ λαλήσω,
εἶτ᾽ οὐ καταγελάσετέ μου.
4 τί γάρ; μὴ ἀνθρώπου μου ἡ ἔλεγξις;
ἢ διὰ τί οὐ θυμωθήσομαι;

stichos $20^2$ + $21^1$ ex θ′ additos A† inserit non ante, sed post $21^2$, cf. 24 5 36 19 39 1 et 5 23 36 28a+b | $20^2$ ου > S*† || $21^2$ δια τουτο ουκ] ουδε A†: cf. $20^1$ init. || $22^1$ δε > AC† || $23^1$ ει πως] + ει BS*† | ει πως πληρ.] και πληρωσει A† | $23^3$ νιψαι] ρ(ε)ιψαι ASc (+ δε A†) || $24^2$ τρωσαι] + δε A† | χαλκαιον(i. e. -κεον) A†: cf. 41 7 || $25^1$ διεξ. δε] και διεξ. A†: cf. 3 12 | $25^2$ αστραπαι O†] ανδρα A†, αστρα rel. | διαιτη SC† | περιπατησαισαν] μη -τησαι A† || $26^1$ παν δε] και παν A†: cf. 3 12 | αυτον A† | $26^2$ κατεδ.] + δε A | ακαυστον] ασβεστον A La†: haec lectio notatur in Smg et in Symg | $26^3$ κακ. δε] και κακ. A†: cf. 3 12 || $27^1$ δε > A† | $27^2$ δε > S*† || $28^1$ ελκυσαι] εκλυσαι S | $28^2$] pr. και A† || $29^2$ αυτω] -του A

21 $2^1$ ακουσ. 1⁰] + μου A | $2^2$ η 1⁰] ειη A† | παρ υμων / αυτη] tr. A† | η ult. > AC† || $3^1$ αρατε] βαστασατε A† | $3^2$] ειτα μη μου καταγελαται(pro -τε) A† | καταγελασατε S† || $4^1$ ανθρ.] pr. εξ A† | μου / η ελ.] tr. A | $4^2$ η] και A†

5 εἰσβλέψαντες εἰς ἐμὲ θαυμάσατε
χεῖρα θέντες ἐπὶ σιαγόνι.
6 ἐάν τε γὰρ μνησθῶ, ἐσπούδακα,
ἔχουσιν δέ μου τὰς σάρκας ὀδύναι.
7 διὰ τί ἀσεβεῖς ζῶσιν,
πεπαλαίωνται δὲ καὶ ἐν πλούτῳ;
8 ὁ σπόρος αὐτῶν κατὰ ψυχήν,
τὰ δὲ τέκνα αὐτῶν ἐν ὀφθαλμοῖς.
9 οἱ οἶκοι αὐτῶν εὐθηνοῦσιν, φόβος δὲ οὐδαμοῦ,
μάστιξ δὲ παρὰ κυρίου οὐκ ἔστιν ἐπ᾽ αὐτοῖς.
10 ἡ βοῦς αὐτῶν οὐκ ὠμοτόκησεν,
διεσώθη δὲ αὐτῶν ἐν γαστρὶ ἔχουσα καὶ οὐκ ἔσφαλεν.
11 μένουσιν δὲ ὡς πρόβατα αἰώνια,
τὰ δὲ παιδία αὐτῶν προσπαίζουσιν
12 ἀναλαβόντες ψαλτήριον καὶ κιθάραν
καὶ εὐφραίνονται φωνῇ ψαλμοῦ.
13 συνετέλεσαν δὲ ἐν ἀγαθοῖς τὸν βίον αὐτῶν,
ἐν δὲ ἀναπαύσει ᾅδου ἐκοιμήθησαν.
14 λέγει δὲ κυρίῳ Ἀπόστα ἀπ᾽ ἐμοῦ,
ὁδούς σου εἰδέναι οὐ βούλομαι·
15 ※τί ἱκανός, ὅτι δουλεύσομεν αὐτῷ;
※καὶ τίς ὠφέλεια, ὅτι ἀπαντήσομεν αὐτῷ;↙
16 ἐν χερσὶν γὰρ ἦν αὐτῶν τὰ ἀγαθά,
ἔργα δὲ ἀσεβῶν οὐκ ἐφορᾷ.
17 οὐ μὴν δὲ ἀλλὰ καὶ ἀσεβῶν λύχνος σβεσθήσεται,
ἐπελεύσεται δὲ αὐτοῖς ἡ καταστροφή,
ὠδῖνες δὲ αὐτοὺς ἕξουσιν ἀπὸ ὀργῆς.
18 ἔσονται δὲ ὥσπερ ἄχυρα πρὸ ἀνέμου
ἢ ὥσπερ κονιορτός, ὃν ὑφείλατο λαῖλαψ.
19 ἐκλίποι υἱοὺς τὰ ὑπάρχοντα αὐτοῦ·
※ἀνταποδώσει πρὸς αὐτὸν καὶ γνώσεται.↙
20 ἴδοισαν οἱ ὀφθαλμοὶ αὐτοῦ τὴν ἑαυτοῦ σφαγήν,
ἀπὸ δὲ κυρίου μὴ διασωθείη·

5[1] εμβλεψ. A† | θαυμασατε S*A†] -σετε B†, θαυμα σχητε(sic) S[c]†, θαυμα σχετε mu. | 5[2] σιαγ.] στομα A†: cf. 𝔐 || 7[1] τι] + δε A† | 7[2] εν > A† || 8[2] δε > S*† | fin.] + αυτων A† || 9[2] επ > B*C† | αυτους S || 10[2] εν] pr. η A† | εχουσα > S*† || 11[1] ως] ωσπερ Amu. | 11[2] προσπαιζουσιν] προσπε(pro αι)ζει αυτοις A† || 12[1] αναλαμβανοντα A† | 12[2] ευφρανθησονται S*† || 13[1] δε > A || 14[1] δε] + ο ασεβης A† | κυριω] pr. τω SA† | 14[2] οδους] pr. τας A† | οδ. σου / ειδ.] tr. S† || 15[2] απαντησωμεν A || 16[1] ην αυτων] tr. A† | 16[2] ουκ εφορα] ου καθαρα A† || 17[1] ασεβων λυχνος] tr. S† | σβεσθ.] pr. ου S*† | 17[3] ωδινες δε] και ωδ. A†: cf. 3 12 | αυτοις A† | αυτους εξ.] tr. BS || 18[1] προ] υπο B*S†, απο B[c]† | 18[2] η > S*† || 19[1] υιοις A† || 20[1] ιδοισαν] ιδοιεν δε A(†) | 20[2] απο δε] και υπο A†: cf. 3 12



21 ※ὅτι τί θέλημα αὐτοῦ ἐν οἴκῳ αὐτοῦ μετ᾽ αὐτόν;
※καὶ ἀριθμοὶ μηνῶν αὐτοῦ διῃρέθησαν.↙
22 πότερον οὐχὶ ὁ κύριός ἐστιν ὁ διδάσκων σύνεσιν καὶ ἐπιστήμην;
αὐτὸς δὲ φόνους διακρινεῖ.
23 ※οὗτος ἀποθανεῖται ἐν κράτει ἁπλοσύνης αὐτοῦ,
※ὅλος δὲ εὐπαθῶν καὶ εὐθηνῶν·↙
24 τὰ δὲ ἔγκατα αὐτοῦ πλήρη στέατος,
μυελὸς δὲ αὐτοῦ διαχεῖται.
25 ὁ δὲ τελευτᾷ ὑπὸ πικρίας ψυχῆς
οὐ φαγὼν οὐδὲν ἀγαθόν.
26 ὁμοθυμαδὸν δὲ ἐπὶ γῆς κοιμῶνται,
σαπρία δὲ αὐτοὺς ἐκάλυψεν.
27 ὥστε οἶδα ὑμᾶς ὅτι τόλμῃ ἐπίκεισθέ μοι·
28 ※ὅτι ἐρεῖτε Ποῦ ἐστιν οἶκος ἄρχοντος;
※καὶ ποῦ ἐστιν ἡ σκέπη τῶν σκηνωμάτων τῶν ἀσεβῶν;
29 ※ἐρωτήσατε παραπορευομένους ὁδόν,
※καὶ τὰ σημεῖα αὐτῶν οὐκ ἀπαλλοτριώσετε·
30 ※ὅτι εἰς ἡμέραν ἀπωλείας κουφίζεται ὁ πονηρός,
※εἰς ἡμέραν ὀργῆς αὐτοῦ ἀπαχθήσονται.
31 ※τίς ἀπαγγελεῖ ἐπὶ προσώπου αὐτοῦ τὴν ὁδὸν αὐτοῦ;
※καὶ αὐτὸς ἐποίησεν, τίς ἀνταποδώσει αὐτῷ;
32 ※καὶ αὐτὸς εἰς τάφους ἀπηνέχθη
※καὶ ἐπὶ σορῷ ἠγρύπνησεν.
33 ※ἐγλυκάνθησαν αὐτῷ χάλικες χειμάρρου,
※καὶ ὀπίσω αὐτοῦ πᾶς ἄνθρωπος ἀπελεύσεται,
※καὶ ἔμπροσθεν αὐτοῦ ἀναρίθμητοι.↙
34 πῶς δὲ παρακαλεῖτέ με κενά;
τὸ δὲ ἐμὲ καταπαύσασθαι ἀφ᾽ ὑμῶν οὐδέν.

22 1 Ὑπολαβὼν δὲ Ελιφας ὁ Θαιμανίτης λέγει
2 Πότερον οὐχὶ ὁ κύριός ἐστιν ὁ διδάσκων σύνεσιν καὶ ἐπιστήμην;
3 τί γὰρ μέλει τῷ κυρίῳ, ἐὰν σὺ ἦσθα τοῖς ἔργοις ἄμεμπτος;
※ἢ ὠφέλεια ὅτι ἁπλώσῃς τὴν ὁδόν σου;↙

21[1] τι Gra.] το mss. | μετ αυτον AO†] μ. αυτου rel. || 22[1] ο 1[0] > S† | 22[2] φονους] σοφους Amu. || 23[1] απεθανεν S† | απλοσυνης BS*O†] αφροσ. rel. || 24[1] πληρης BSA: cf. Thack. p. 177 | 24[2] μυελος δε] ο δε μυ. A† | αυτων Smu. || 25[1] δε] + γε A† | υπο πικρια S*† | 25[2] ουδεν(>S*†) αγαθον] tr. A† || 26[1] δε] + οι υιοι αυτου A†: eadem add. S[s]† post 26[1] | κοιμηθησονται A† | 26[2]] + επι γης A† || 28[1] οτι] ωστε BSA†: cf. 27 | αρχαιος A† | 28[2] η > A† || 30[2]] pr. και A† | απαχθησεται AS[c](uid.) || 31[1] απαγγελλει S† | προσωπον AS[c] | 31[2] αυτος] pr. α BA || 32[2] και] + αυτος BS*† | σορω] σωρω S, σωρων B† || 33[3] αναριθμ.] αν > A† || 34[2] εμε καταπ. αφ υμων] αφ υμων καταπαυσαι με A† | fin.] + εστιν A†

22 1 ελιφας: cf. 2 11[3] || 3[1] ησθα] ης A†: cf. 38 4 | τοις εργ. / αμεμπτ.] tr. A† | 3[2] ωφελ.] + αυτω A† | απλωσης] λ > BS*†

4 ἢ λόγον σου ποιούμενος ἐλέγξει σε
καὶ συνεισελεύσεταί σοι εἰς κρίσιν;
5 πότερον οὐχ ἡ κακία σού ἐστιν πολλή,
ἀναρίθμητοι δέ σού εἰσιν αἱ ἁμαρτίαι;
6 ἠνεχύραζες δὲ τοὺς ἀδελφούς σου διὰ κενῆς,
ἀμφίασιν δὲ γυμνῶν ἀφείλου·
7 οὐδὲ ὕδωρ διψῶντας ἐπότισας,
ἀλλὰ πεινώντων ἐστέρησας ψωμόν·
8 ἐθαύμασας δέ τινων πρόσωπον,
ᾤκισας δὲ τοὺς ἐπὶ τῆς γῆς·
9 χήρας δὲ ἐξαπέστειλας κενάς,
ὀρφανοὺς δὲ ἐκάκωσας.
10 τοιγαροῦν ἐκύκλωσάν σε παγίδες,
καὶ ἐσπούδασέν σε πόλεμος ἐξαίσιος·
11 τὸ φῶς σοι σκότος ἀπέβη,
κοιμηθέντα δὲ ὕδωρ σε ἐκάλυψεν.
12 μὴ οὐχὶ ὁ τὰ ὑψηλὰ ναίων ἐφορᾷ,
τοὺς δὲ ὕβρει φερομένους ἐταπείνωσεν;
13 ※καὶ εἶπας Τί ἔγνω ὁ ἰσχυρός;
※ἦ κατὰ τοῦ γνόφου κρινεῖ;
14 ※νέφη ἀποκρυφὴ αὐτοῦ, καὶ οὐχ ὁραθήσεται
※καὶ γῦρον οὐρανοῦ διαπορεύσεται.
15 ※μὴ τρίβον αἰώνιον φυλάξεις,
※ἣν ἐπάτησαν ἄνδρες ἄδικοι,
16 ※οἳ συνελήμφθησαν ἄωροι;
※ποταμὸς ἐπιρρέων οἱ θεμέλιοι αὐτῶν ⸔
17 οἱ λέγοντες Κύριος τί ποιήσει ἡμῖν;
ἢ τί ἐπάξεται ἡμῖν ὁ παντοκράτωρ;
18 ὃς δὲ ἐνέπλησεν τοὺς οἴκους αὐτῶν ἀγαθῶν,
βουλὴ δὲ ἀσεβῶν πόρρω ἀπ᾽ αὐτοῦ.
19 ἰδόντες δίκαιοι ἐγέλασαν,
ἄμεμπτος δὲ ἐμυκτήρισεν.
20 ※εἰ μὴ ἠφανίσθη ἡ ὑπόστασις αὐτῶν,
※καὶ τὸ κατάλειμμα αὐτῶν καταφάγεται πῦρ.⸔
21 γενοῦ δὴ σκληρός, ἐὰν ὑπομείνῃς·

$5^2$ εισιν > A† || $6^1$ δε] > S, γαρ A || $8^1$ προσωπον BS*† (cf. 32 22 34 19$^2$)] -πα rel. | $8^2$ ωκισας] εκο(ι)μισας A† | τους BS*†] πτωχους rel. | της > A || $9^2$ ορφ. δε] και ορφ. A†: cf. 3 12 || $11^1$ σκοτος] pr. εις SA† | $11^2$ υδωρ σε] tr. A†, σε > S† || $12^1$ ουχι > A†, sed ante εφορα add. A† ουκ || $14^1$ νεφη] νεφελη BA | αποκρυφης B† | $14^2$ διαπορευσεται] σ > B || $15^2$ επατησαν] επανεστησαν A*† | αδικοι O†] δικαιοι rel. || $17^1$ κυριος — ημιν] τι ποιησει ημιν ο κυρ. A† | $17^2$ επαξει A† || $18^1$ ος δε] οτε γε A† || $19^2$ fin. BS*†] + αυτους rel. (in O sub ※) || $20^1$ η > A† || $21^1$ δη] δε SA



εἶτ᾽ ὁ καρπός σου ἔσται ἐν ἀγαθοῖς.
22 ἔκλαβε δὲ ἐκ στόματος αὐτοῦ ἐξηγορίαν
καὶ ἀνάλαβε τὰ ῥήματα αὐτοῦ ἐν καρδίᾳ σου.
23 ἐὰν δὲ ἐπιστραφῇς καὶ ταπεινώσῃς σεαυτὸν ἔναντι κυρίου,
πόρρω ἐποίησας ἀπὸ διαίτης σου τὸ ἄδικον.
24 ※θήσῃ ἐπὶ χώματι ἐν πέτρᾳ
※καὶ ὡς πέτρᾳ χειμάρρους Ωφιρ.⸔
25 ἔσται οὖν σου ὁ παντοκράτωρ βοηθὸς ἀπὸ ἐχθρῶν,
καθαρὸν δὲ ἀποδώσει σε ὥσπερ ἀργύριον πεπυρωμένον.
26 εἶτα παρρησιασθήσῃ ἔναντι κυρίου
ἀναβλέψας εἰς τὸν οὐρανὸν ἱλαρῶς·
27 εὐξαμένου δέ σου πρὸς αὐτὸν εἰσακούσεταί σου,
δώσει δέ σοι ἀποδοῦναι τὰς εὐχάς·
28 ἀποκαταστήσει δέ σοι δίαιταν δικαιοσύνης,
ἐπὶ δὲ ὁδοῖς σου ἔσται φέγγος.
29 ※ὅτι ἐταπείνωσεν αὐτόν, καὶ ἐρεῖς Ὑπερηφανεύσατο,
※καὶ κύφοντα ὀφθαλμοῖς σώσει·
30 ※ῥύσεται ἀθῷον,
※καὶ διασώθητι ἐν καθαραῖς χερσίν σου.⸔
23 1 Ὑπολαβὼν δὲ Ιωβ λέγει
2 Καὶ δὴ οἶδα ὅτι ἐκ χειρός μου ἡ ἔλεγξίς ἐστιν,
καὶ ἡ χεὶρ αὐτοῦ βαρεῖα γέγονεν ἐπ᾽ ἐμῷ στεναγμῷ.
3 τίς δ᾽ ἄρα γνοίη ὅτι εὕροιμι αὐτὸν
καὶ ἔλθοιμι εἰς τέλος;
4 εἴποιμι δὲ ἐμαυτοῦ κρίμα,
τὸ δὲ στόμα μου ἐμπλήσαιμι ἐλέγχων·
5 γνῴην δὲ ῥήματα, ἅ μοι ἐρεῖ,
αἰσθοίμην δὲ τίνα μοι ἀπαγγελεῖ.
6 καὶ εἰ ἐν πολλῇ ἰσχύι ἐπελεύσεταί μοι,

$21^2$ ειτ] η A† || $22^1$ εκλαβε] εκβαλε B | εξηγ.] pr. συν A† || $23^2$] pr. και A | το > BS*† | αδικον] κακον S*† (A* dub.) || $24^1$ θησεις A | χωματος A† | $24^2$ ως πετρα] ως S*†, ωσπερ ASc† | χειμαρρους σωφειρ S, χειμαρρου σωφιρ Sixt.: cf. 28 16 || $25^1$ ουν] δε A† | σου] σοι SA || $26^1$ ενπαρρησιαση A† | εναντιον B† || $27^2$ σοι αποδ. τας ευχας] + σου Sc, τας ευχας σου αποδ. A† || $28^2$ οδους S*† | σου] σοι A† || $29^1$ εταπεινωσεν αυτον(uel εαυ.) pl.] -νωσας σεαυτον BSA† | υπερηφανευσατο] -σαμην ASc(uid.), pr. ει A† || $30^1$ ρυσ.] + δε A | $30^2$ διασωθηση ASc†
23 $2^1$ χειρων A† | $2^2$ και > A† | pro επ εμω(+ν S*†) στεναγμω(+ν S*†) praebet A† επ εμοι et addit stichum στεναζω δε επ εμαυτον || $3^1$ δ αρα] δ > S, γαρ αν A(†) | $3^2$ και] + οτι A† || $4^1$ ειπ.] ιδοιμι S*† | εμαυτου] επ αυτου ASc | $4^2$ εμπλησαιμι Gra.] -σαι BS*†, -σει με A†, -σω rel. | ελεγχου A† || $5^1$ ρηματα] ιαματα BS*mu. | $5^2$ ατινα S*† | απαγγελλει SA† || $6^1$ ει > BS | εν > A†

εἶτα ἐν ἀπειλῇ μοι οὐ χρήσεται·
7 ἀλήθεια γὰρ καὶ ἔλεγχος παρ᾽ αὐτοῦ,
ἐξαγάγοι δὲ εἰς τέλος τὸ κρίμα μου.
8 εἰς γὰρ πρῶτα πορεύσομαι καὶ οὐκέτι εἰμί·
τὰ δὲ ἐπ᾽ ἐσχάτοις τί οἶδα;
9 ※ἀριστερὰ ποιήσαντος αὐτοῦ καὶ οὐ κατέσχον·
※περιβαλεῖ δεξιά, καὶ οὐκ ὄψομαι.⸔
10 οἶδεν γὰρ ἤδη ὁδόν μου,
διέκρινεν δέ με ὥσπερ τὸ χρυσίον.
11 ἐξελεύσομαι δὲ ἐν ἐντάλμασιν αὐτοῦ·
ὁδοὺς γὰρ αὐτοῦ ἐφύλαξα καὶ οὐ μὴ ἐκκλίνω.
12 ἀπὸ ἐνταλμάτων αὐτοῦ καὶ οὐ μὴ παρέλθω,
ἐν δὲ κόλπῳ μου ἔκρυψα ῥήματα αὐτοῦ.
13 εἰ δὲ καὶ αὐτὸς ἔκρινεν οὕτως, τίς ἐστιν ὁ ἀντειπὼν αὐτῷ;
ὃ γὰρ αὐτὸς ἠθέλησεν, καὶ ἐποίησεν.
15 διὰ τοῦτο ἐπ᾽ αὐτῷ ἐσπούδακα·
νουθετούμενος δὲ ἐφρόντισα αὐτοῦ.
15a ※ἐπὶ τούτῳ ἀπὸ προσώπου αὐτοῦ κατασπουδασθῶ·
※κατανοήσω καὶ πτοηθήσομαι ἐξ αὐτοῦ.⸔
16 κύριος δὲ ἐμαλάκυνεν τὴν καρδίαν μου,
ὁ δὲ παντοκράτωρ ἐσπούδασέν με.
17 οὐ γὰρ ᾔδειν ὅτι ἐπελεύσεταί μοι σκότος,
πρὸ προσώπου δέ μου ἐκάλυψεν γνόφος.
**24** 1 διὰ τί δὲ κύριον ἔλαθον ὧραι,
2 ἀσεβεῖς δὲ ὅριον ὑπερέβησαν
ποίμνιον σὺν ποιμένι ἁρπάσαντες;
3 ὑποζύγιον ὀρφανῶν ἀπήγαγον
καὶ βοῦν χήρας ἠνεχύρασαν.
4 ἐξέκλιναν ἀδυνάτους ἐξ ὁδοῦ δικαίας,
※ὁμοθυμαδὸν ἐκρύβησαν πραεῖς γῆς.⸔

$6^{2}$ ειτα] και ει A†, ει τε compl. | μοι / ου χρησ.] tr. A† || $7^{1}$ αυτω A† || $8^{1}$ εις γαρ πρωτα πορευσομαι και] εαν γαρ πορευθω εις τα πρωτα A† || $10^{1}$] + αυτος A | $10^{2}$ διεκρ. δε] και διεκρ. A†: cf. 3 12 | το > A || $12^{1}$ ενταλμ.] εντολων A† | και > A† | παρελθω] + ινα μη αποθανω A† || $13^{1}$ αντειπων] αντειπιπτων Sc†, αντερων A† | $13^{2}$ ὃ: sic Sy La et qui codicem B accentibus instruxit, sed ὁ Sa et Complut. Ald. Gra. || 𝔐 14 > 𝔊 || $15^{1}$ εσπουδακειν A† || 15a est altera interpretatio uersus 15 | $15a^{1}$ κατασπουδασθω] θ > S*† || $16^{1}$ δε] μου A† | $16^{2}$ εσπουδακεν A† | με] σε S*†, επ εμε A† || $17^{1}$ σκοτος ... $17^{2}$ γνοφος] tr. A† | $17^{2}$ προ — εκαλ.] προσωπον δε μου καλυψει A†

**24** 1 κυριε A† | ωραι (2) ασεβεις δε οριον] ωρας ασεβεις ανδρες (2) οριον δε A† || $2^{2}$] pr. και A† | ηρπασαν A† || $3^{1}$ υποζυγ.] + δε AScpl. || $4^{1}$ εξεκλιναν(A† -νον)] + δε A | δικαιων S*† | $4^{2}$ ομοθ.] + δε BApl.



5 ἀπέβησαν δὲ ὥσπερ ὄνοι ἐν ἀγρῷ
ὑπὲρ ἐμοῦ ἐξελθόντες τὴν ἑαυτῶν πρᾶξιν·
※ἡδύνθη αὐτῷ ἄρτος εἰς νεωτέρους.⸔
6 ἀγρὸν πρὸ ὥρας οὐκ αὐτῶν ὄντα ἐθέρισαν·
ἀδύνατοι δὲ ἀμπελῶνας ἀσεβῶν ἀμισθὶ καὶ ἀσιτὶ ἠργάσαντο.
7 γυμνοὺς πολλοὺς ἐκοίμισαν ἄνευ ἱματίων,
ἀμφίασιν δὲ ψυχῆς αὐτῶν ἀφείλαντο.
8 ※ἀπὸ ψεκάδων ὀρέων ὑγραίνονται,⸔
παρὰ τὸ μὴ ἔχειν αὐτοὺς σκέπην πέτραν περιεβάλοντο.
9 ἥρπασαν ὀρφανὸν ἀπὸ μαστοῦ,
ἐκπεπτωκότα δὲ ἐταπείνωσαν.
10 γυμνοὺς δὲ ἐκοίμισαν ἀδίκως,
πεινώντων δὲ τὸν ψωμὸν ἀφείλαντο.
11 ἐν στενοῖς ἀδίκως ἐνήδρευσαν,
ὁδὸν δὲ δικαίαν οὐκ ᾔδεισαν.
12 οἳ ἐκ πόλεως καὶ οἴκων ἰδίων ἐξεβάλλοντο,
ψυχὴ δὲ νηπίων ἐστέναξεν μέγα,
αὐτὸς δὲ διὰ τί τούτων ἐπισκοπὴν οὐ πεποίηται;
13 ἐπὶ γῆς ὄντων αὐτῶν καὶ οὐκ ἐπέγνωσαν,
ὁδὸν δὲ δικαιοσύνης οὐκ ᾔδεισαν
οὐδὲ ἀτραποὺς αὐτῆς ἐπορεύθησαν.
14 γνοὺς δὲ αὐτῶν τὰ ἔργα παρέδωκεν αὐτοὺς εἰς σκότος,
※καὶ νυκτὸς ἔσται ὡς κλέπτης.
15 ※καὶ ὀφθαλμὸς μοιχοῦ ἐφύλαξεν σκότος
※λέγων Οὐ προσνοήσει με ὀφθαλμός,
※καὶ ἀποκρυβὴν προσώπου ἔθετο.
16 ※διώρυξεν ἐν σκότει οἰκίας·
※ἡμέρας ἐσφράγισαν ἑαυτούς,
※οὐκ ἐπέγνωσαν φῶς·

$5^{1}$ απεβ. δε] απεβ. S*†; και απεβ. ASc†: cf. 3 12 | $5^{2}$ την .. πραξιν] την .. ταξιν B, τη .. πραξει ASc† (sed Sc† deleuit per errorem ultimam literam uerbi εαυτων pro ultima litera uerbi πραξιν) | stichum $5^{3}$ ex θ′ additum A† inserit non ante, sed post $6^{1}$, cf. 20 20 | ηδυνθη] ηδυνηθη δε A† | αρτος / εις νεωτ.] tr. S† || $6^{2}$ δε > BS*O† | αμπελωνας ασεβων] tr. A†, ς et ασεβων om. S*† | αμισθι .. ασιτι] tr. A | ηργασαντο B*S] ειργ. ABcpl.: cf. 34 32 et Thack. p. 201 || $7^{1}$ γυμνους] + δε Amu. || $8^{2}$] pr. και A† | αυτους] pr. ε BA | πετραν > S*† || $9^{1}$ ηρπ.] + δε A† | ορφανους A† | $9^{2}$ εκπεπτ. δε] και εκπεπτ. A†: cf. 3 12 || $10^{1}$ δε > A† | $10^{2}$ τον > A† || $11^{1}$ στενοις] σκοτ⟨ε⟩ινοις ASc | αδ. ενηδρ.] tr. A† | $11^{2}$ δε > S* | δικαιαν (cf. 4 28 4)] δικαιων B*A || $12^{1}$ οι > AScO† | πολεων S*† | οικων] εξ οικιων A(†) | εξεβαλλοντο] -βαλ(λ)ον αυτους ASc† | $12^{2}$ μεγα] μεγαλως A† || $13^{1}$ επι γης / οντων αυτων] tr. et ετι pr. A† | $13^{3}$ ατρ. αυ. / επορ.] tr. A† | αυτης] -των BS* || $15^{2}$ οφθ.] pr. ο A† || $16^{2}$ ημ.] + δε A†

17 ※ὅτι ὁμοθυμαδὸν τὸ πρωὶ αὐτοῖς σκιὰ θανάτου,
※ὅτι ἐπιγνώσεται ταραχὰς σκιᾶς θανάτου.
18 ※ἐλαφρός ἐστιν ἐπὶ πρόσωπον ὕδατος ·⁄
καταραθείη ἡ μερὶς αὐτῶν ἐπὶ γῆς.
19 ἀναφανείη δὲ τὰ φυτὰ αὐτῶν ἐπὶ γῆς ξηρά·
ἀγκαλίδα γὰρ ὀρφανῶν ἥρπασαν.
20 εἶτ᾽ ἀνεμνήσθη αὐτοῦ ἡ ἁμαρτία,
ὥσπερ δὲ ὁμίχλη δρόσου ἀφανὴς ἐγένετο·
ἀποδοθείη δὲ αὐτῷ ἃ ἔπραξεν,
συντριβείη δὲ πᾶς ἄδικος ἴσα ξύλῳ ἀνιάτῳ.
21 στεῖραν γὰρ οὐκ εὖ ἐποίησεν
καὶ γύναιον οὐκ ἠλέησεν,
22 θυμῷ δὲ κατέστρεψεν ἀδυνάτους.
ἀναστὰς τοιγαροῦν οὐ μὴ πιστεύσῃ κατὰ τῆς ἑαυτοῦ ζωῆς·
23 μαλακισθεὶς μὴ ἐλπιζέτω ὑγιασθῆναι, ἀλλὰ πεσεῖται νόσῳ.
24 πολλοὺς γὰρ ἐκάκωσεν τὸ ὕψωμα αὐτοῦ·
ἐμαράνθη δὲ ὥσπερ μολόχη ἐν καύματι
ἢ ὥσπερ στάχυς ἀπὸ καλάμης αὐτόματος ἀποπεσών.
25 εἰ δὲ μή, τίς ἐστιν ὁ φάμενος ψευδῆ με λέγειν
※καὶ θήσει εἰς οὐδὲν τὰ ῥήματά μου;⁄
25 1 Ὑπολαβὼν δὲ Βαλδαδ ὁ Σαυχίτης λέγει
2 Τί γὰρ προοίμιον ἢ φόβος παρ᾽ αὐτοῦ,
ὁ ποιῶν τὴν σύμπασαν ἐν ὑψίστῳ;
3 μὴ γάρ τις ὑπολάβοι ὅτι ἔστιν παρέλκυσις πειραταῖς;
ἐπὶ τίνας δὲ οὐκ ἐπελεύσεται ἔνεδρα παρ᾽ αὐτοῦ;
4 πῶς γὰρ ἔσται δίκαιος βροτὸς ἔναντι κυρίου;
ἢ τίς ἂν ἀποκαθαρίσαι ἑαυτὸν γεννητὸς γυναικός;
5 εἰ σελήνῃ συντάσσει, καὶ οὐκ ἐπιφαύσκει·
ἄστρα δὲ οὐ καθαρὰ ἐναντίον αὐτοῦ.

$17^1$ το πρωι / αυτοις Cpl.] tr. BSA | σκια θαν.] διεσκεδασεν A† | $17^2$ ταραχος BS*C† | σκια S*A† || $18^1$ προσωπου A† || $19^2$ ορφανου A† || $20^1$ ειτα εμνησθη A† | αυτων A | $20^2$ ωσπερ δε] και ωσπερ A†: cf. 3 12 | $20^3$ δε > SA | α] pr. καθ ASc† || $21^1$ γαρ] δε B† | ευ εποιησεν] εποικτειραν A† | $21^2$ και .. ουκ] ουδε .. A† | αγυναιον BS*A† | ηλεασαν (sic) A† || $22^1$ κατεστρεψαν A† | $22^2$ κατα] υπερ A(†) || 23 μαλακ.] + δε A | υγιαναι A† || $24^2$ δε > S*C† | μολοχη] χλοη A† | $24^3$ απο καλ. / αυτ. αποπ.] tr. A† || $25^1$ ψευδη με] tr. A | $25^2$ θησ⟨ε⟩ις S*†
25 $2^1$ γαρ] + εστιν A† | η] ο A† | παρ] pr. ο B*† | αυτω A† | $2^2$ fin.] + εστιν A† || $3^2$ δε] + αυτων A† || $4^1$ δικ. βροτος] tr. A† | $4^2$ εαυτον] ε > BS*† | post $4^2$ add. A(†) stichum singularem ουδ ανθρωπος ου καθαρος: cf. $5^2$ || $5^1$] pr. ο λεγων τω ηλιω μη ανατελλειν και ουκ ανατελλει A(†): ex 9 7 A | ει σελ.] η σελ. B†, σεληνην δε A(†) | επιφαυσκει] κ > A† | $5^2$ ου καθαρα] ουκ αμεμπτα A†: cf. 15 15



6 ἔα δέ, ἄνθρωπος σαπρία
καὶ υἱὸς ἀνθρώπου σκώληξ.
26 1 Ὑπολαβὼν δὲ Ιωβ λέγει
2 Τίνι πρόσκεισαι ἢ τίνι μέλλεις βοηθεῖν;
πότερον οὐχ ᾧ πολλὴ ἰσχὺς καὶ ᾧ βραχίων κραταιός ἐστιν;
3 τίνι συμβεβούλευσαι; οὐχ ᾧ πᾶσα σοφία;
ἢ τίνι ἐπακολουθήσεις; οὐχ ᾧ μεγίστη δύναμις;
4 τίνι ἀνήγγειλας ῥήματα;
πνοὴ δὲ τίνος ἐστὶν ἡ ἐξελθοῦσα ἐκ σοῦ;
5 ※μὴ γίγαντες μαιωθήσονται
※ὑποκάτωθεν ὕδατος καὶ τῶν γειτόνων αὐτοῦ;
6 ※γυμνὸς ὁ ᾅδης ἐπώπιον αὐτοῦ,
※καὶ οὐκ ἔστιν περιβόλαιον τῇ ἀπωλείᾳ.
7 ※ἐκτείνων βορέαν ἐπ᾽ οὐδέν,
※κρεμάζων γῆν ἐπὶ οὐδενός·
8 ※δεσμεύων ὕδωρ ἐν νεφέλαις αὐτοῦ,
※καὶ οὐκ ἐρράγη νέφος ὑποκάτω αὐτοῦ·
9 ※ὁ κρατῶν πρόσωπον θρόνου,
※ἐκπετάζων ἐπ᾽ αὐτὸν νέφος αὐτοῦ.
10 ※πρόσταγμα ἐγύρωσεν ἐπὶ πρόσωπον ὕδατος
※μέχρι συντελείας φωτὸς μετὰ σκότους.
11 ※στῦλοι οὐρανοῦ ἐπετάσθησαν
※καὶ ἐξέστησαν ἀπὸ τῆς ἐπιτιμήσεως αὐτοῦ.⁄
12 ἰσχύι κατέπαυσεν τὴν θάλασσαν,
ἐπιστήμῃ δὲ ἔτρωσε τὸ κῆτος·
13 κλεῖθρα δὲ οὐρανοῦ δεδοίκασιν αὐτόν,
προστάγματι δὲ ἐθανάτωσεν δράκοντα ἀποστάτην.
14 ※ἰδοὺ ταῦτα μέρη ὁδοῦ αὐτοῦ,
※καὶ ἐπὶ ἰκμάδα λόγου ἀκουσόμεθα ἐν αὐτῷ·⁄
σθένος δὲ βροντῆς αὐτοῦ τίς οἶδεν ὁπότε ποιήσει;
27 1 Ἔτι δὲ προσθεὶς Ιωβ εἶπεν τῷ προοιμίῳ
2 Ζῇ κύριος, ὃς οὕτω με κέκρικεν,
καὶ ὁ παντοκράτωρ ὁ πικράνας μου τὴν ψυχήν,

$6^1$ ανθρωπος] -πον S*†, pr. πας A†
26 $2^2$ ισχυς] pr. η A | ω 2⁰] ο A || $3^1$ πασα] pr. η A† | $3^2$ η > BS*† | επακολουθεις A† | μεγ.] pr. η A† || $5^1$] μη γειτονες ματαιωθησονται S*† | $5^2$ των > A† || $6^2$ απωλ.] πτωχια S*† || $7^1$ βορεα BA† | $7^2$ κρεμνων A†: cf. Thack. p. 247 || $8^2$ υποκατωθεν A || $9^1$ > S*† | $9^2$ εκπεταζων] σκεπων A† || $11^1$ επεσταθησαν A† || $12^1$ ισχυι] + μεν A† | $12^2$ ετρωσε pau.] εστρωσεν A mu., εστρωται BS*† || $13^1$ δε] τε A† || $14^1$ οδου] λογου S*† | $14^3$ ποτε S*†
27 1 ειπεν / τω προοιμιω] tr. A† || $2^1$ κυριος] pr. ο S*†, ο θεος B†: cf. 9 | $2^2$ πικρωσας A†

3 ἢ μὴν ἔτι τῆς πνοῆς μου ἐνούσης,
πνεῦμα δὲ θεῖον τὸ περιόν μοι ἐν ῥισίν,
4 μὴ λαλήσειν τὰ χείλη μου ἄνομα,
οὐδὲ ἡ ψυχή μου μελετήσει ἄδικα.
5 μή μοι εἴη δικαίους ὑμᾶς ἀποφῆναι, ἕως ἂν ἀποθάνω·
οὐ γὰρ ἀπαλλάξω μου τὴν ἀκακίαν.
6 δικαιοσύνῃ δὲ προσέχων οὐ μὴ προῶμαι·
οὐ γὰρ σύνοιδα ἐμαυτῷ ἄτοπα πράξας.
7 οὐ μὴν δὲ ἀλλὰ εἴησαν οἱ ἐχθροί μου ὥσπερ ἡ καταστροφὴ τῶν ἀσεβῶν,
καὶ οἱ ἐπ᾽ ἐμὲ ἐπανιστανόμενοι ὥσπερ ἡ ἀπώλεια τῶν παρανόμων.
8 καὶ τίς γάρ ἐστιν ἐλπὶς ἀσεβεῖ ὅτι ἐπέχει;
πεποιθὼς ἐπὶ κύριον ἆρα σωθήσεται;
9 ἢ τὴν δέησιν αὐτοῦ εἰσακούσεται κύριος;
ἢ ἐπελθούσης αὐτῷ ἀνάγκης
10 μὴ ἔχει τινὰ παρρησίαν ἔναντι αὐτοῦ;
ἢ ὡς ἐπικαλεσαμένου αὐτοῦ εἰσακούσεται αὐτοῦ;
11 ἀλλὰ δὴ ἀναγγελῶ ὑμῖν τί ἐστιν ἐν χειρὶ κυρίου·
ἅ ἐστιν παρὰ παντοκράτορι, οὐ ψεύσομαι.
12 ἰδοὺ δὴ πάντες οἴδατε ὅτι κενὰ κενοῖς ἐπιβάλλετε.
13 αὕτη ἡ μερὶς ἀνθρώπου ἀσεβοῦς παρὰ κυρίου,
κτῆμα δὲ δυναστῶν ἐλεύσεται παρὰ παντοκράτορος ἐπ᾽ αὐτούς.
14 ἐὰν δὲ πολλοὶ γένωνται οἱ υἱοὶ αὐτοῦ, εἰς σφαγὴν ἔσονται·
ἐὰν δὲ καὶ ἀνδρωθῶσιν, προσαιτήσουσιν·
15 οἱ δὲ περιόντες αὐτοῦ ἐν θανάτῳ τελευτήσουσιν,
χήρας δὲ αὐτῶν οὐθεὶς ἐλεήσει.
16 ἐὰν συναγάγῃ ὥσπερ γῆν ἀργύριον,
ἴσα δὲ πηλῷ ἑτοιμάσῃ χρυσίον,
17 ταῦτα πάντα δίκαιοι περιποιήσονται,

3[1] η] ει BA | ενουσης] + εν εμοι AO† | 3[2] το] ετι A† | μοι εν ρισιν] εν ρημασιν μου Ar† | ρινι BS*† || 4[1] μη λαλ.] ου μη λαλησει A† | τα χειλη] το στομα A† | ανομα ... 4[2] αδικα] tr. A† || 5[2] μου / την ακακ.] tr. A pl. || 6[2] ατοπον A† || 7[2] επ εμε επανισταν.] επανισταν. μοι A† | ανομων S† || 8[1] και] ναι μην A† | εστιν] + ετι A† | ελπις ασεβει] tr. S† | 8[2]] pr. μη A | πεπ.] + δε Sc† | αρα] pr. ει A† || 9[1] εισακουσεται] ακουση A† | κυριος] pr. ο A†, ο θεος BS†: cf. 2 | 9[2] η επελθ.] επελθ. δε A || 10[1] εχ⟨ε⟩ιν S | τινα] τι S*†, > A† | εναντι BS†] -τιον rel. | 10[2] ως] πως ASc† | αυτου 1[0]] -τον Sc mu. || 11[1] αναγγελλω S† | 11[2] παντοκρ.] pr. τω A || 12 δη > B† | παντες οιδατε (sic etiam *O*)] παντες υμεις εορακατε A†: = 𝕸 | οτι (sic etiam *O*)] δια τι δε A† (incipit stichum): = 𝕸 | επιβαλλεσθε A† || 13[2] κτημα] οργη ASc† | ελευσεται] pr. εξ A†, pr. επ C compl. || 14[1] δε > A† | αυτων B || 15[1] > B*† | αυτων A† | εν θαν.] κακω θαν. A, εν > C pl. | 15[2] χηρας δε] και χ. A†: cf. 3 12 || 16[2] ετοιμ. χρυσ.] tr. A† || 17[1] ταυτα] + δε S†



τὰ δὲ χρήματα αὐτοῦ ἀληθινοὶ καθέξουσιν.
18 ἀπέβη δὲ ὁ οἶκος αὐτοῦ ὥσπερ σῆτες καὶ ὥσπερ ἀράχνη.
19 πλούσιος κοιμηθεὶς καὶ οὐ προσθήσει,
※ὀφθαλμοὺς αὐτοῦ διήνοιξεν καὶ οὐκ ἔστιν.⸔
20 συνήντησαν αὐτῷ ὥσπερ ὕδωρ αἱ ὀδύναι,
νυκτὶ δὲ ὑφείλατο αὐτὸν γνόφος·
21 ※ἀναλήμψεται αὐτὸν καύσων καὶ ἀπελεύσεται
※καὶ λικμήσει αὐτὸν ἐκ τοῦ τόπου αὐτοῦ.
22 ※καὶ ἐπιρρίψει ἐπ᾽ αὐτὸν καὶ οὐ φείσεται·
※ἐκ χειρὸς αὐτοῦ φυγῇ φεύξεται·
23 ※κροτήσει ἐπ᾽ αὐτοῦ χεῖρας αὐτοῦ
※καὶ συριεῖ αὐτὸν ἐκ τοῦ τόπου αὐτοῦ.⸔
28 1 ἔστιν γὰρ ἀργυρίῳ τόπος, ὅθεν γίνεται,
τόπος δὲ χρυσίῳ, ὅθεν διηθεῖται.
2 σίδηρος μὲν γὰρ ἐκ γῆς γίνεται,
χαλκὸς δὲ ἴσα λίθῳ λατομεῖται.
3 τάξιν ἔθετο σκότει,
※καὶ πᾶν πέρας αὐτὸς ἐξακριβάζεται·
※λίθος σκοτία καὶ σκιὰ θανάτου,
4 ※διακοπὴ χειμάρρου ἀπὸ κονίας·⸔
οἱ δὲ ἐπιλανθανόμενοι ὁδὸν δικαίαν ἠσθένησαν ἐκ βροτῶν.
5 ※γῆ, ἐξ αὐτῆς ἐξελεύσεται ἄρτος,
※ὑποκάτω αὐτῆς ἐστράφη ὡσεὶ πῦρ.
6 ※τόπος σαπφείρου οἱ λίθοι αὐτῆς,
※καὶ χῶμα, χρυσίον αὐτῷ.
7 ※τρίβος, οὐκ ἔγνω αὐτὴν πετεινόν,
※καὶ οὐ παρέβλεψεν αὐτὴν ὀφθαλμὸς γυπός·
8 ※οὐκ ἐπάτησαν αὐτὴν υἱοὶ ἀλαζόνων,
※οὐ παρῆλθεν ἐπ᾽ αὐτῆς λέων.
9 ※ἐν ἀκροτόμῳ ἐξέτεινεν χεῖρα αὐτοῦ,⸔
κατέστρεψεν δὲ ἐκ ῥιζῶν ὄρη·
10 δίνας δὲ ποταμῶν ἔρρηξεν,

18 σητος A† | αραχναι S† | fin.] + ο πλουτος αυτου A; + α συνετηρησε mu. (in *O* sub ※) || 19[1] κοιμηθεις και BS*†] και > A†, -θησεται και rel. | ου] + μη S† | 19[2] οφθ.] + δε S† || 20[1] συνηντ.] κοιμηθεντι συναντησονται A† | υδωρ] σητες S*†: ex 18 | αι > A† | 20[2] γνοφος] λαιλαψ S†: ex 21 18 || 21[1] αναλημψ.] + δε B†, pr. και S† || 22[1] απορειψει A† | επ > BS*A† || 23[1] αυτου 1[0]] -τους S*†, -τον ASc mu. | αυτου 2[0]] -των BS*
28 1[1] αργυριου S*† | 1[2] χρυσιου BS*† || 3[2] παν] καιρων A† | αυτους A† | 3[3] σκοτιας B† || 4[2] οδους δικαιοσυνης A†: cf. La *uiam iustitiae* || 5[2] ωσει] ως A† || 6[1] οι] pr. και A† || 8[1]] pr. και BS*† | ου κατεπατησαν S† | αυτην] -τον B† || 10[1] δ(ε)ινας BSA†] θινας rel.

πᾶν δὲ ἔντιμον εἶδέν μου ὁ ὀφθαλμός·
11 βάθη δὲ ποταμῶν ἀνεκάλυψεν,
ἔδειξεν δὲ ἑαυτοῦ δύναμιν εἰς φῶς.
12 ἡ δὲ σοφία πόθεν εὑρέθη;
ποῖος δὲ τόπος ἐστὶν τῆς ἐπιστήμης;
13 οὐκ οἶδεν βροτὸς ὁδὸν αὐτῆς,
οὐδὲ μὴ εὑρεθῇ ἐν ἀνθρώποις.
14 ※ἄβυσσος εἶπεν Οὐκ ἔστιν ἐν ἐμοί·
※καὶ θάλασσα εἶπεν Οὐκ ἔστιν μετ᾽ ἐμοῦ.
15 ※οὐ δώσει συγκλεισμὸν ἀντ᾽ αὐτῆς,
※καὶ οὐ σταθήσεται ἀργύριον ἀντάλλαγμα αὐτῆς·
16 ※καὶ οὐ συμβασταχθήσεται χρυσίῳ Ωφιρ,
※ἐν ὄνυχι τιμίῳ καὶ σαπφείρῳ·
17 ※οὐκ ἰσωθήσεται αὐτῇ χρυσίον καὶ ὕαλος
※καὶ τὸ ἄλλαγμα αὐτῆς σκεύη χρυσᾶ·
18 ※μετέωρα καὶ γαβις οὐ μνησθήσεται,
※καὶ ἕλκυσον σοφίαν ὑπὲρ τὰ ἐσώτατα·
19 ※οὐκ ἰσωθήσεται αὐτῇ τοπάζιον Αἰθιοπίας,
※χρυσίῳ καθαρῷ οὐ συμβασταχθήσεται.↙
20 ἡ δὲ σοφία πόθεν εὑρέθη;
ποῖος δὲ τόπος ἐστὶν τῆς συνέσεως;
21 λέληθεν πάντα ἄνθρωπον
※καὶ ἀπὸ πετεινῶν τοῦ οὐρανοῦ ἐκρύβη·
22 ※ἡ ἀπώλεια καὶ ὁ θάνατος εἶπαν↙
Ἀκηκόαμεν δὲ αὐτῆς τὸ κλέος.
23 ὁ θεὸς εὖ συνέστησεν αὐτῆς τὴν ὁδόν,
αὐτὸς δὲ οἶδεν τὸν τόπον αὐτῆς·
24 αὐτὸς γὰρ τὴν ὑπ᾽ οὐρανὸν πᾶσαν ἐφορᾷ
εἰδὼς τὰ ἐν τῇ γῇ πάντα, ἃ ἐποίησεν,
25 ἀνέμων σταθμὸν ὕδατός τε μέτρα·
26 ὅτε ἐποίησεν οὕτως, ὑετὸν ἠρίθμησεν
※καὶ ὁδὸν ἐν τινάγματι φωνάς·

10² εντιμον BS†] τιμιον rel. | μου] αυτου ASᶜ†: = 𝔐 et Laᵖ || 11¹ βαθη δε] και β. A†: cf. 3 12 || 12² της > A || 13² μη] μην BS* || 14¹·² εστιν bis] ενεστιν B† | 14² θαλ.] pr. η B || 15² σταθ.] + αυτη B*† | αυτης] pr. αντ S*† || 16¹ ωφ(ε)ιρ] σωφ. BSpl.: cf. 22 24 || 17¹] pr. και A† || 18² και > S*† || 20¹ δε] δη A† | 20² τοπος εστιν] tr. A† | της > A† || 21² εκρυβη] pr. ουκ A† || 22¹ ειπεν AC† | 22² δε > ASᶜpl.: δε abhorret a textu amplificato, quem nunc legimus, quadrat ad textum principalem || 23¹ θεος BS*†] κυριος rel. (etiam O): cf. 29 4 | 23² δε] γαρ A†: ex 24 || 24² α(>B†) εποιησεν ad 25 trahit 𝔐 || 25] pr. εποιησεν δε AC†, sed etiam hi habent α εποιησεν praec. | υδατος τε] τε > BS*†, και υδατων A† || 26¹ οτε εποιησεν ad 25 trahunt BS | υετον Gra.] ιδων mss.



27 ※τότε εἶδεν αὐτὴν καὶ ἐξηγήσατο αὐτήν,↙
ἑτοιμάσας ἐξιχνίασεν.
28 εἶπεν δὲ ἀνθρώπῳ Ἰδοὺ ἡ θεοσέβειά ἐστιν σοφία,
τὸ δὲ ἀπέχεσθαι ἀπὸ κακῶν ἐστιν ἐπιστήμη.
29 1 Ἔτι δὲ προσθεὶς Ιωβ εἶπεν τῷ προοιμίῳ
2 Τίς ἄν με θείη κατὰ μῆνα ἔμπροσθεν ἡμερῶν, ὧν με ὁ θεὸς ἐφύλαξεν;
3 ὡς ὅτε ηὔγει ὁ λύχνος αὐτοῦ ὑπὲρ κεφαλῆς μου,
ὅτε τῷ φωτὶ αὐτοῦ ἐπορευόμην ἐν σκότει·
4 ὅτε ἤμην ἐπιβρίθων ὁδοῖς,
ὅτε ὁ θεὸς ἐπισκοπὴν ἐποιεῖτο τοῦ οἴκου μου·
5 ὅτε ἤμην ὑλώδης λίαν,
κύκλῳ δέ μου οἱ παῖδες·
6 ὅτε ἐχέοντό μου αἱ ὁδοὶ βουτύρῳ,
τὰ δὲ ὄρη μου ἐχέοντο γάλακτι·
7 ὅτε ἐξεπορευόμην ὄρθριος ἐν πόλει,
ἐν δὲ πλατείαις ἐτίθετό μου ὁ δίφρος.
8 ἰδόντες με νεανίσκοι ἐκρύβησαν,
πρεσβῦται δὲ πάντες ἔστησαν·
9 ἁδροὶ δὲ ἐπαύσαντο λαλοῦντες
δάκτυλον ἐπιθέντες ἐπὶ στόματι.
10 οἱ δὲ ἀκούσαντες ἐμακάρισάν με,
※καὶ γλῶσσα αὐτῶν τῷ λάρυγγι αὐτῶν ἐκολλήθη·
11 ※ὅτι οὖς ἤκουσεν καὶ ἐμακάρισέν με,↙
ὀφθαλμὸς δὲ ἰδών με ἐξέκλινεν.
12 διέσωσα γὰρ πτωχὸν ἐκ χειρὸς δυνάστου
καὶ ὀρφανῷ, ᾧ οὐκ ἦν βοηθός, ἐβοήθησα·
13 ※εὐλογία ἀπολλυμένου ἐπ᾽ ἐμὲ ἔλθοι,↙
στόμα δὲ χήρας με εὐλόγησεν.
14 δικαιοσύνην δὲ ἐνεδεδύκειν,
ἠμφιασάμην δὲ κρίμα ἴσα διπλοΐδι.
15 ὀφθαλμὸς ἤμην τυφλῶν,
ποὺς δὲ χωλῶν.

27¹ ειδεν] ιδων A†, sed και seq. retinet A | αυτην 2⁰] ν > B†
29 1] προσθεις δε ετι τω προοιμιω ιωβ λεγει A† || 2 κατα — fin.] μηνα κατα μηνα ημερων των εμπροσθεν, ημερων ων ο θεος εφυλαττεν με A† || 3¹ ο > A† | 3² τω] pr. εν A† || 4¹ επιτριβων S*† | οδους BS*† | 4² θεος BS*†] κυριος rel. (etiam O): cf. 28 23 || 6¹ μου / αι οδοι] tr. B† | 6² εχειτο A† || 8¹ εκρυβ.] + εαυτοις A† | 8² παντες] σταντες Gra. | επανεστησαν A† || 9² επιτιθεντες A† | fin.] + αυτων A || 10¹ ακουσ.] + περι εμου A† || 11¹ ους BSA†] ωτιον rel. | 11² ιδων με] tr. A† || 12² ουκ ην] ουχ υπηρχεν A† || 13² με ε(uel η)υλογ.] tr. A† || 14¹ ενεδεδυκειν pau.] ενδεδ. BSᶜ, εδεδ. S*A: cf. Idt. 10 3

16 ἐγὼ ἤμην πατὴρ ἀδυνάτων,
δίκην δέ, ἣν οὐκ ᾔδειν, ἐξιχνίασα·
17 συνέτριψα δὲ μύλας ἀδίκων,
ἐκ δὲ μέσου τῶν ὀδόντων αὐτῶν ἅρπαγμα ἐξέσπασα.
18 εἶπα δέ Ἡ ἡλικία μου γηράσει,
ὥσπερ στέλεχος φοίνικος πολὺν χρόνον βιώσω·
19 ※ἡ ῥίζα μου διήνοικται ἐπὶ ὕδατος,
※καὶ δρόσος αὐλισθήσεται ἐν τῷ θερισμῷ μου·
20 ※ἡ δόξα μου καινὴ μετ' ἐμοῦ,
※καὶ τὸ τόξον μου ἐν χειρὶ αὐτοῦ πορεύσεται.↙
21 ἐμοῦ ἀκούσαντες προσέσχον,
ἐσιώπησαν δὲ ἐπὶ τῇ ἐμῇ βουλῇ·
22 ἐπὶ δὲ τῷ ἐμῷ ῥήματι οὐ προσέθεντο,
περιχαρεῖς δὲ ἐγίνοντο, ὁπόταν αὐτοῖς ἐλάλουν·
23 ὥσπερ γῆ διψῶσα προσδεχομένη τὸν ὑετόν,
οὕτως οὗτοι τὴν ἐμὴν λαλιάν.
24 ἐὰν γελάσω πρὸς αὐτούς, οὐ μὴ πιστεύσωσιν,
※καὶ φῶς τοῦ προσώπου μου οὐκ ἀπέπιπτεν·
25 ※ἐξελεξάμην ὁδὸν αὐτῶν καὶ ἐκάθισα ἄρχων
※καὶ κατεσκήνουν ὡσεὶ βασιλεὺς ἐν μονοζώνοις ὃν τρόπον
παθεινοὺς παρακαλῶν.↙

30 1 νυνὶ δὲ κατεγέλασάν μου,
ἐλάχιστοι νῦν νουθετοῦσίν με ἐν μέρει,
※ὧν ἐξουδένουν πατέρας αὐτῶν,↙
οὓς οὐχ ἡγησάμην εἶναι ἀξίους κυνῶν τῶν ἐμῶν νομάδων.
2 ※καί γε ἰσχὺς χειρῶν αὐτῶν ἵνα τί μοι;
※ἐπ' αὐτοὺς ἀπώλετο συντέλεια
3 ※ἐν ἐνδείᾳ καὶ λιμῷ ἄγονος·
※οἱ φεύγοντες ἄνυδρον ἐχθὲς συνοχὴν καὶ ταλαιπωρίαν,
4 ※οἱ περικλῶντες ἅλιμα ἐπὶ ἠχοῦντι,↙
οἵτινες ἅλιμα ἦν αὐτῶν τὰ σῖτα,
ἄτιμοι δὲ καὶ πεφαυλισμένοι, ἐνδεεῖς παντὸς ἀγαθοῦ,

$17^{2}$ δε > B† | μεσων S (ν deleuit Sc uid.) | των > A | εξηρπασα BS*† || $18^{1}$ δε > A† | η > SA | $18^{2}$ πολυν] + δε A† (trahit ωσπερ στελ. φοιν. ad $18^{1}$) || $19^{1}$ μου > BS | $19^{2}$ εν] επι A† || $20^{2}$ μου] αυτου A† | αυτου] μου La† | πορευσεται] σ > BS || $21^{1}$ εμου ακουσ.] πρεσβυτεροι ακουσ. μου A† || $22^{1}$ δε > BS† | $22^{2}$ περιχ. δε] και περιχ. A†: cf. 3 12 | οποτε A† || $23^{1}$ τον > A† | $23^{2}$] + προσεδεχοντο A† || $24^{1}$ εαν γελ.] ει εγελων A† | ου μη πιστ.] ουκ επιστευεν(pro -ον) A† || $25^{2}$ παθεινους] ποθ. Sc†, συνπαθεις A†, πενθικους Gra.: cf. 30 31 | παρακαλων B*S*A La†] παρεκαλουν BcSc Sy rel.
30 $1^{2}$ ελαχ. ad $1^{1}$ trahunt AC | $1^{3}$ πατερας] pr. τους BSA† | $1^{4}$ ειναι αξιους pl.] tr. A, ειναι > BS† || $4^{1}$ περικλωντες pau.] -κυκλουντες BSA | $4^{2}$ οιτινες] ων A† | $4^{3}$ δε] τε A† | παντος > A†



οἳ καὶ ῥίζας ξύλων ἐμασῶντο ὑπὸ λιμοῦ μεγάλου.
5 ἐπανέστησάν μοι κλέπται,
6 ὧν οἱ οἶκοι αὐτῶν ἦσαν τρῶγλαι πετρῶν·
7 ※ἀνὰ μέσον εὐήχων βοήσονται·↙
οἳ ὑπὸ φρύγανα ἄγρια διῃτῶντο,
8 ἀφρόνων υἱοὶ καὶ ἀτίμων ὄνομα
καὶ κλέος ἐσβεσμένον ἀπὸ γῆς.
9 νυνὶ δὲ κιθάρα ἐγώ εἰμι αὐτῶν,
καὶ ἐμὲ θρύλημα ἔχουσιν·
10 ἐβδελύξαντο δέ με ἀποστάντες μακράν,
ἀπὸ δὲ προσώπου μου οὐκ ἐφείσαντο πτύελον.
11 ἀνοίξας γὰρ φαρέτραν αὐτοῦ ἐκάκωσέν με,
※καὶ χαλινὸν τοῦ προσώπου μου ἐξαπέστειλαν.
12 ※ἐπὶ δεξιῶν βλαστοῦ ἐπανέστησαν,
※πόδα αὐτῶν ἐξέτειναν καὶ ὡδοποίησαν ἐπ' ἐμὲ τρίβους ἀπ-
ωλείας αὐτῶν.
13 ※ἐξετρίβησαν τρίβοι μου,↙
ἐξέδυσεν γάρ μου τὴν στολήν·
14 βέλεσιν αὐτοῦ κατηκόντισέν με,
κέχρηταί μοι ὡς βούλεται, ἐν ὀδύναις πέφυρμαι.
15 ἐπιστρέφονται δέ μου αἱ ὀδύναι,
ᾤχετό μου ἡ ἐλπὶς ὥσπερ πνεῦμα
καὶ ὥσπερ νέφος ἡ σωτηρία μου.
16 ※καὶ νῦν ἐπ' ἐμὲ ἐκχυθήσεται ἡ ψυχή μου,↙
ἔχουσιν δέ με ἡμέραι ὀδυνῶν·
17 νυκτὶ δέ μου τὰ ὀστᾶ συγκέκαυται,
τὰ δὲ νεῦρά μου διαλέλυται.
18 ἐν πολλῇ ἰσχύι ἐπελάβετό μου τῆς στολῆς,
※ὥσπερ τὸ περιστόμιον τοῦ χιτῶνός μου περιέσχεν με.↙
19 ἥγησαι δέ με ἴσα πηλῷ,
ἐν γῇ καὶ σποδῷ μου ἡ μερίς·
20 κέκραγα δὲ πρὸς σὲ καὶ οὐκ εἰσακούεις μου,

$4^{4}$ > B*† || 6 ησαν > S*† | πετρων] pr. των A† || $8^{2}$ εσβεσμενων S*† | απο] επι A† || $9^{1}$ εγω ειμι/αυτων] tr. A†, αυτων εγενομην V† || $10^{1}$ δε > A | $10^{2}$ > S*† | πτυελου ASc(uid.)V† || $11^{1}$ γαρ] + οδε AV† | $11^{2}$ τω προσωπω S† | εξαπεστειλαν S*BcLa(Sy dub.)†] -λεν rel. || $12^{1}$ βλαστου] pr. του AV† | $12^{2}$ ποδας pl. | αυτου εξετεινεν S pl. | ωδοποιησεν Sc pl. || $13^{2}$ εξεδυσαν BA | μου την στολην] με την στ. μου AV† || $14^{1}$ βελεσιν] + γαρ V†, βελος γαρ S*† | $14^{2}$ κεχρ.] + δε A | εβουλετο AV† || $15^{1}$ δε > BS*† | $15^{3}$] + παρ;λθεν AV† (in O sub ※) || $17^{1}$ νυκτι ... συγκεκαυται(BS† χ pro κα)] νυκτες ... συνεθλασαν AV† | $17^{2}$ τα δε] και τα AV†: cf. 3 12 || $18^{1}$ εν > AV† || $19^{1}$ ηγηται A | δε > S*† | $19^{2}$ μου/η μερις] tr. A || $20^{1}$ εισακουεις] εισ > B†, -κουση S†

※ἔστησαν καὶ κατενόησάν με·⸔
21 ἐπέβης δέ μοι ἀνελεημόνως,
χειρὶ κραταιᾷ με ἐμαστίγωσας·
22 ἔταξας δέ με ἐν ὀδύναις
※καὶ ἀπέρριψάς με ἀπὸ σωτηρίας.⸔
23 οἶδα γὰρ ὅτι θάνατός με ἐκτρίψει·
οἰκία γὰρ παντὶ θνητῷ γῇ.
24 εἰ γὰρ ὄφελον δυναίμην ἐμαυτὸν χειρώσασθαι,
ἢ δεηθείς γε ἑτέρου, καὶ ποιήσει μοι τοῦτο.
25 ἐγὼ δὲ ἐπὶ παντὶ ἀδυνάτῳ ἔκλαυσα,
ἐστέναξα δὲ ἰδὼν ἄνδρα ἐν ἀνάγκαις.
26 ἐγὼ δὲ ἐπέχων ἀγαθοῖς,
ἰδοὺ συνήντησάν μοι μᾶλλον ἡμέραι κακῶν.
27 ※ἡ κοιλία μου ἐξέζεσεν καὶ οὐ σιωπήσεται,
※προέφθασάν με ἡμέραι πτωχείας.⸔
28 στένων πεπόρευμαι ἄνευ φιμοῦ,
ἕστηκα δὲ ἐν ἐκκλησίᾳ κεκραγώς.
29 ἀδελφὸς γέγονα σειρήνων,
ἑταῖρος δὲ στρουθῶν.
30 τὸ δὲ δέρμα μου ἐσκότωται μεγάλως,
τὰ δὲ ὀστᾶ μου ἀπὸ καύματος.
31 ἀπέβη δὲ εἰς πάθος μου ἡ κιθάρα,
ὁ δὲ ψαλμός μου εἰς κλαυθμὸν ἐμοί.
31 1 ※διαθήκην ἐθέμην τοῖς ὀφθαλμοῖς μου
※καὶ οὐ συνήσω ἐπὶ παρθένον.
2 ※καὶ τί ἐμέρισεν ὁ θεὸς ἀπάνωθεν
※καὶ κληρονομία ἱκανοῦ ἐξ ὑψίστων;
3 ※οὐχὶ ἀπώλεια τῷ ἀδίκῳ
※καὶ ἀπαλλοτρίωσις τοῖς ποιοῦσιν ἀνομίαν;
4 ※οὐχὶ αὐτὸς ὄψεται ὁδόν μου
※καὶ πάντα τὰ διαβήματά μου ἐξαριθμήσεται;⸔

20$^2$ εστησαν] + δε BS | με] μοι AV† || 21$^1$ επεβης] -βησαν B, απεβησαν AV† | ανελεημονες A | 21$^2$] pr. ως AV†: ex 21$^1$ fin.? || 22$^2$ in Sy La sub ※, sed adest etiam in Sa, cf. 20 3+4$^1$ || 23$^2$ παντι θν./γη] tr. AV† || 24$^2$ δεηθεις γε] δεηθηναι AV†, γε > S*† || 25$^2$ εστεν. δε] και εστ. AV†: cf. 3 12 | αναγκη A† || 26$^1$ εγω δε επεχων(S$^c$ επεσχον)] και επ(ε)ιχον εγω εν A V†: cf. 3 12 | 26$^2$] pr. και AV† || 27$^2$ προεφθ.] + δε AV† || 30$^1$ δε > S | εσκοτ.] μεμελανωται AV† | 30$^2$ απο καυμ. BS*†] + συνεφρυγη AV†, + συνεφρυγησαν S$^c$†; pr. συνεφρυγη rel. (in *O* sub ※) || 31$^1$ δε > A | παθος] πενθος A pl. (item α′σ′θ′): cf. 29 25 | μου/η κιθ.] tr. AV†
31 1$^1$ οφθ.] αδελφοις S*† | 1$^2$ παρθενων A† || 2$^1$ τι εμερ.] διεμερ. S*†, ετι εμερ. BS$^{c(†)}$, επεμερ. AV† | απανωθεν (uel sim.) S$^c$ pl.] απ > BS*A | 2$^2$ εξ υψιστων] εν υψιστω S*†, εξ υψιστου AV† || 3$^1$ ουχι Gra. (cf. 4)] ουαι mss. (+ και A) | 3$^2$ απαλλοτριωσεις AV† || 4$^2$ εξαριθμηθησεται B*SA†



5 εἰ δὲ ἤμην πεπορευμένος μετὰ γελοιαστῶν,
εἰ δὲ καὶ ἐσπούδασεν ὁ πούς μου εἰς δόλον,
6 ἱσταίη με ἄρα ἐν ζυγῷ δικαίῳ,
οἶδεν δὲ ὁ κύριος τὴν ἀκακίαν μου.
7 εἰ ἐξέκλινεν ὁ πούς μου ἐκ τῆς ὁδοῦ,
εἰ δὲ καὶ τῷ ὀφθαλμῷ ἐπηκολούθησεν ἡ καρδία μου,
εἰ δὲ καὶ ταῖς χερσίν μου ἡψάμην δώρων,
8 σπείραιμι ἄρα καὶ ἄλλοι φάγοισαν,
ἄρριζος δὲ γενοίμην ἐπὶ γῆς.
9 εἰ ἐξηκολούθησεν ἡ καρδία μου γυναικὶ ἀνδρὸς ἑτέρου,
εἰ καὶ ἐγκάθετος ἐγενόμην ἐπὶ θύραις αὐτῆς,
10 ἀρέσαι ἄρα καὶ ἡ γυνή μου ἑτέρῳ,
τὰ δὲ νήπιά μου ταπεινωθείη·
11 θυμὸς γὰρ ὀργῆς ἀκατάσχετος
τὸ μιᾶναι ἀνδρὸς γυναῖκα·
12 πῦρ γάρ ἐστιν καιόμενον ἐπὶ πάντων τῶν μερῶν,
οὗ δ᾽ ἂν ἐπέλθῃ, ἐκ ῥιζῶν ἀπώλεσεν.
13 εἰ δὲ καὶ ἐφαύλισα κρίμα θεράποντός μου ἢ θεραπαίνης
κρινομένων αὐτῶν πρός με,
14 τί γὰρ ποιήσω, ἐὰν ἔτασίν μου ποιήσηται ὁ κύριος;
ἐὰν δὲ καὶ ἐπισκοπήν, τίνα ἀπόκρισιν ποιήσομαι;
15 πότερον οὐχ ὡς καὶ ἐγὼ ἐγενόμην ἐν γαστρί, καὶ ἐκεῖνοι γεγόνασιν;
γεγόναμεν δὲ ἐν τῇ αὐτῇ κοιλίᾳ.
16 ἀδύνατοι δὲ χρείαν, ἥν ποτ᾽ εἶχον, οὐκ ἀπέτυχον,
χήρας δὲ τὸν ὀφθαλμὸν οὐκ ἐξέτηξα.
17 εἰ δὲ καὶ τὸν ψωμόν μου ἔφαγον μόνος
καὶ οὐχὶ ὀρφανῷ μετέδωκα·
18 ※ὅτι ἐκ νεότητός μου ἐξέτρεφον ὡς πατὴρ
※καὶ ἐκ γαστρὸς μητρός μου ὡδήγησα·⸔
19 εἰ δὲ καὶ ὑπερεῖδον γυμνὸν ἀπολλύμενον καὶ οὐκ ἠμφίασα,
20 ἀδύνατοι δὲ εἰ μὴ εὐλόγησάν με,

5$^1$ δε] γε AV† | 5$^2$ ο πους μου/εις δολον] tr. AV† || 6$^1$ ισταιη με αρα Ra. (cf. 8. 10. 22. 28. 30. 40)] ειστα με γαρ A†, ισταμαι γαρ S pau., εστα με γαρ V†, εσταμαι γαρ rel. | 6$^2$ δε > A† || 7$^1$ εκ] απο AV† | οδου] + αυτου AS$^c$V | 7$^2$ οφθ.] + μου AS$^c$V | 7$^3$ ει δε και] και ει AV†: item in 25$^2$ | ταις] pr. εν AV† || 8$^1$ αρα > S*† | φαγονται AV† || 9$^2$ ει] + δε A || 10$^1$ αρεσαι] αλεσαι Gra. | ετερω] αλλω AV† || 11$^1$ ακαθεκτος AV† || 12$^1$ επι] εκ AV† | μερων (sic etiam Sy)] μελων pau. (S$^c$ deleuit per errorem μ et superscripsit λ) = *membris* La || 14$^1$ ποιησηται] ποιηται B†, ποιηση AC† (14$^1$ > V) || 15$^1$ και 1$^0$ > A || 16$^1$ χρ(ε)ιαν/ην ποτ ειχον] tr. AV† | 16$^2$ χηρας δε] και χ. AV†: cf. 3 12 | ετηξα A† || 17$^2$ ορφ. μετεδ.] tr. A† | fin. BS*A†] + εξ αυτου rel. (in *O* sub ※) || 18$^1$ οτι] και AV† || 19] + αυτον BS†, + μη(mss. μην) εχοντα περιβολαιον V† (in *O* sub ※) || 20$^1$ ευλογουν AV†

ἀπὸ δὲ κουρᾶς ἀμνῶν μου ἐθερμάνθησαν οἱ ὦμοι αὐτῶν,
21 εἰ ἐπῆρα ὀρφανῷ χεῖρα
πεποιθὼς ὅτι πολλή μοι βοήθεια περίεστιν,
22 ἀποσταίη ἄρα ὁ ὦμός μου ἀπὸ τῆς κλειδός,
ὁ δὲ βραχίων μου ἀπὸ τοῦ ἀγκῶνός μου συντριβείη.
23 φόβος γὰρ κυρίου συνέσχεν με,
※καὶ ἀπὸ τοῦ λήμματος αὐτοῦ οὐχ ὑποίσω.
24 ※εἰ ἔταξα χρυσίον ἰσχύν μου,↙
εἰ δὲ καὶ λίθῳ πολυτελεῖ ἐπεποίθησα,
25 εἰ δὲ καὶ εὐφράνθην πολλοῦ πλούτου μοι γενομένου,
εἰ δὲ καὶ ἐπ᾽ ἀναριθμήτοις ἐθέμην χεῖρά μου,
26 ἢ οὐχ ὁρῶ μὲν ἥλιον τὸν ἐπιφαύσκοντα ἐκλείποντα,
σελήνην δὲ φθίνουσαν· οὐ γὰρ ἐπ᾽ αὐτοῖς ἐστιν.
27 ※καὶ εἰ ἠπατήθη λάθρᾳ ἡ καρδία μου,↙
εἰ δὲ καὶ χεῖρά μου ἐπιθεὶς ἐπὶ στόματί μου ἐφίλησα,
28 καὶ τοῦτό μοι ἄρα ἀνομία ἡ μεγίστη λογισθείη,
ὅτι ἐψευσάμην ἐναντίον κυρίου τοῦ ὑψίστου.
29 εἰ δὲ καὶ ἐπιχαρὴς ἐγενόμην πτώματι ἐχθρῶν μου
καὶ εἶπεν ἡ καρδία μου Εὖγε,
30 ἀκούσαι ἄρα τὸ οὖς μου τὴν κατάραν μου,
θρυληθείην δὲ ἄρα ὑπὸ λαοῦ μου κακούμενος.
31 εἰ δὲ καὶ πολλάκις εἶπον αἱ θεράπαιναί μου
Τίς ἂν δῴη ἡμῖν τῶν σαρκῶν αὐτοῦ πλησθῆναι;
λίαν μου χρηστοῦ ὄντος·
32 ἔξω δὲ οὐκ ηὐλίζετο ξένος,
ἡ δὲ θύρα μου παντὶ ἐλθόντι ἀνέῳκτο.
33 εἰ δὲ καὶ ἁμαρτὼν ἀκουσίως ἔκρυψα τὴν ἁμαρτίαν μου,
34 οὐ γὰρ διετράπην πολυοχλίαν πλήθους τοῦ μὴ ἐξαγορεῦσαι
ἐνώπιον αὐτῶν,
εἰ δὲ καὶ εἴασα ἀδύνατον ἐξελθεῖν θύραν μου κόλπῳ κενῷ,
35 ※τίς δῴη ἀκούοντά μου;↙
χεῖρα δὲ κυρίου εἰ μὴ ἐδεδοίκειν,

20² αμνων] αρνων A ‖ 21¹ ει] + δε και AV† | 21² πολλη μοι] tr. SC | παρεστιν SA ‖ 22¹ ο ωμ. μου / απο τ. κλ.] tr. AV† | 22² μου ult. > BS† ‖ 23¹ κυριου > B† | συνειχεν A† | 23²] + δολον S*† ‖ 24¹ ισχυν mu.] εις χουν BSA ‖ 25¹ μοι(BA*† μου) γενομ.] tr. AV† | 25² ει δε και: cf. 7³ ‖ 26¹ ὁρῶ μὲν Complut. Gra.] ὁρῶμεν SyLaSa | εκλ(ε)ιπ.] pr. και S*A ‖ 27² και > B ‖ 28¹ αρα] η S*† | η μεγιστη λογ.] λογ. (+ η V†) μεγαλη AV† | 28² εναντιον] εναντι SA pl. ‖ 29¹ πτωματι] pr. επι SAV(O?)† | εχθρου AVO† | 29² και ει ειπον τη κ. AV† | ευγε] + ευγε ACV† ‖ 30² αρα > A | μου > AV† ‖ 31² πλησθηναι] pr. εμ A ‖ 32² η δε θυρα] και η θ. AV†: cf. 3 12 ‖ 34¹ πληθους] λαου AVLa† | ενωπ.] εναντιον AV† | αυτου S*† | 34² θυραν] pr. την AScV



συγγραφὴν δέ, ἣν εἶχον κατά τινος,
36 ἐπ᾽ ὤμοις ἂν περιθέμενος στέφανον ἀνεγίνωσκον,
37 καὶ εἰ μὴ ῥήξας αὐτὴν ἀπέδωκα
οὐθὲν λαβὼν παρὰ χρεοφειλέτου,
38 εἰ ἐπ᾽ ἐμοί ποτε ἡ γῆ ἐστέναξεν,
εἰ δὲ καὶ οἱ αὔλακες αὐτῆς ἔκλαυσαν ὁμοθυμαδόν,
39 εἰ δὲ καὶ τὴν ἰσχὺν αὐτῆς ἔφαγον μόνος ἄνευ τιμῆς,
εἰ δὲ καὶ ψυχὴν κυρίου τῆς γῆς ἐκβαλὼν ἐλύπησα,
40 ἀντὶ πυροῦ ἄρα ἐξέλθοι μοι κνίδη,
ἀντὶ δὲ κριθῆς βάτος.
Καὶ ἐπαύσατο Ιωβ ῥήμασιν.
32 1 Ἡσύχασαν δὲ καὶ οἱ τρεῖς φίλοι αὐτοῦ ἔτι ἀντειπεῖν Ιωβ·
ἦν γὰρ Ιωβ δίκαιος ἐναντίον αὐτῶν.
2 ὠργίσθη δὲ Ελιους ὁ τοῦ Βαραχιηλ ὁ Βουζίτης
ἐκ τῆς συγγενείας Ραμ τῆς Αυσίτιδος χώρας,
ὠργίσθη δὲ τῷ Ιωβ σφόδρα,
διότι ἀπέφηνεν ἑαυτὸν δίκαιον ἐναντίον κυρίου·
3 καὶ κατὰ τῶν τριῶν δὲ φίλων ὠργίσθη σφόδρα,
διότι οὐκ ἠδυνήθησαν ἀποκριθῆναι ἀντίθετα Ιωβ
καὶ ἔθεντο αὐτὸν εἶναι ἀσεβῆ.
4 Ελιους δὲ ὑπέμεινεν δοῦναι ἀπόκρισιν Ιωβ,
※ὅτι πρεσβύτεροι αὐτοῦ εἰσιν ἡμέραις.
5 ※καὶ εἶδεν Ελιους ὅτι οὐκ ἔστιν ἀπόκρισις
※ἐν στόματι τῶν τριῶν ἀνδρῶν,
※καὶ ἐθυμώθη ὀργὴ αὐτοῦ.↙
6 ὑπολαβὼν δὲ Ελιους ὁ τοῦ Βαραχιηλ ὁ Βουζίτης εἶπεν
Νεώτερος μέν εἰμι τῷ χρόνῳ, ὑμεῖς δέ ἐστε πρεσβύτεροι·
διὸ ἡσύχασα φοβηθεὶς
τοῦ ὑμῖν ἀναγγεῖλαι τὴν ἐμαυτοῦ ἐπιστήμην·
7 εἶπα δὲ ὅτι Ὁ χρόνος ἐστὶν ὁ λαλῶν,
ἐν πολλοῖς δὲ ἔτεσιν οἴδασιν σοφίαν.

36(>V)] pr. ει A† | αν > A† | στεφ.] pr. ως A† ‖ 37(>V)²] + μου A† ‖ 39¹ δε και > AV† | μονος / ανευ τιμης] tr. AV†, μονος > S | 39² εκλαβων B ‖ 40¹ αρα > AV†
32 1¹ ετι (+ δε A†) αντειπεν ιωβ AV† | 1² ιωβ / δικ. εναντ. αυτων] tr. A†, ιωβ > V† ‖ 2¹ ο βουζ(ε)ιτης] ο του βουζ(ε)ι AV†: item in 6¹ | 2² ραμ] ραμα AV†, αραμ C | 2³ ωργ. δε] και ωργ. AV†: cf. 3 12 | 2⁴ εναντιον] ον > SAV† ‖ 3¹ τριων δε] tr. A†, δε > S*† | φιλων] + αυτου AScV† | ωργ. σφοδρα] tr. S† | 3² ιωβ] pr. τω SA | 3³ ασεβη] ευσ. A*ScVSymg†: cf. Eccl. 3 16 ‖ 4¹ ιωβ] pr. τω AV† | 4² αυτου εισιν] tr. A† | ημερων A† ‖ 5³ ὀργὴ La (cf. 42 7 θ′ εθυμωθη η οργη μου)] ὀργῇ Sy: sic 𝔊 ubique, sed 5 est translatio Theodotionis ‖ 6¹ βουζιτης: cf. 2 | ειπεν] λεγει A | 6² μεν > S*† | 6³ διο] διοτι A† | 6⁴ εμαυτου] εμην AV† ‖ 7¹ ο 1⁰ pl.] > A†, pr. ουχ(uel ουκ) BS | 7² οιδασιν A mu.] pr. ουκ BS, ουκ οιδα compl.

8 ἀλλὰ πνεῦμά ἐστιν ἐν βροτοῖς,
πνοὴ δὲ παντοκράτορός ἐστιν ἡ διδάσκουσα·
9 οὐχ οἱ πολυχρόνιοί εἰσιν σοφοί,
οὐδ᾽ οἱ γέροντες οἴδασιν κρίμα.
10 διὸ εἶπα Ἀκούσατέ μου,
καὶ ἀναγγελῶ ὑμῖν ἃ οἶδα·
11 ἐνωτίζεσθέ μου τὰ ῥήματα· ἐρῶ γὰρ ὑμῶν ἀκουόντων,
※ἄχρι οὗ ἐτάσητε λόγους.
12 ※καὶ μέχρι ὑμῶν συνήσω,
※καὶ ἰδοὺ οὐκ ἦν τῷ Ιωβ ἐλέγχων,
※ἀνταποκρινόμενος ῥήματα αὐτοῦ ἐξ ὑμῶν,⸔
13 ἵνα μὴ εἴπητε Εὕρομεν σοφίαν κυρίῳ προσθέμενοι·
14 ἀνθρώπῳ δὲ ἐπετρέψατε λαλῆσαι τοιαῦτα ῥήματα. —
15 ※ἐπτοήθησαν, οὐκ ἀπεκρίθησαν ἔτι,
※ἐπαλαίωσαν ἐξ αὐτῶν λόγους.
16 ※ὑπέμεινα, οὐ γὰρ ἐλάλησαν·
※ὅτι ἔστησαν, οὐκ ἀπεκρίθησαν.⸔
17 Ὑπολαβὼν δὲ Ελιους λέγει
18 Πάλιν λαλήσω· πλήρης γάρ εἰμι ῥημάτων,
ὀλέκει γάρ με τὸ πνεῦμα τῆς γαστρός·
19 ἡ δὲ γαστήρ μου ὥσπερ ἀσκὸς γλεύκους ζέων δεδεμένος
ἢ ὥσπερ φυσητὴρ χαλκέως ἐρρηγώς.
20 λαλήσω, ἵνα ἀναπαύσωμαι ἀνοίξας τὰ χείλη·
21 ἄνθρωπον γὰρ οὐ μὴ αἰσχυνθῶ,
ἀλλὰ μὴν οὐδὲ βροτὸν οὐ μὴ ἐντραπῶ·
22 οὐ γὰρ ἐπίσταμαι θαυμάσαι πρόσωπον·
εἰ δὲ μή, καὶ ἐμὲ σῆτες ἔδονται.
**33** 1 οὐ μὴν δὲ ἀλλὰ ἄκουσον, Ιωβ, τὰ ῥήματά μου
καὶ λαλιὰν ἐνωτίζου μου·
2 ἰδοὺ γὰρ ἤνοιξα τὸ στόμα μου,
καὶ ἐλάλησεν ἡ γλῶσσά μου.

**8**$^1$] pr. και ουχ ουτως AV†: cf. 𝕸 | 8$^2$ εσται A† | fin.] + με AV†, + σε S*†; + αυτους pau. (in *O* sub ※) || **9**$^1$ ουχ] ου γαρ AV† || **11**$^1$ μου / τα ρημ.] tr. AV† | ερω γαρ > BS*† | post 11$^1$ add. AV† ιδου (+ γαρ V) ηκουσα τους λογους υμων ενωτισαμην μεχρι συνεσεως υμων (+ και εως υμων συνησω V): cf. 𝕸 11$^{1.2}$ | 11$^2$ λογους] τους λ. υμων AV† || **12**$^1$ μεχρι] εως AV† | 12$^2$ ελεγχων] pr. ο A† | 12$^3$ > S*† | ρημασιν AV† || **13** ινα] + δε AV† | κυρ. προσθ.] tr. AV† || **15**$^1$ ουκ] pr. και S*† || **16**$^1$ ου] ουδε S*† | ελαλησαν La†] ν > rel. | 16$^2$] + οτι αποκριθω καγω μερος inu.: = 𝕸 17$^1$ || **18**$^2$ γαρ] δε AV† || **19**$^1$ η δε] και η AV†: cf. **3** 12 | ζεων] γεμων AV† | 19$^2$ ερρηγως] > S*†, δεδεμενος και κατερρηγως AV† || **20** fin.] + μου AV†; + αποκριθω S$^c$ pau. (in *O* sub ※) || **22**$^1$ προσωπα B†: cf. **22** 8
**33** 1$^2$ λαλ. ενωτ. μου] την λαλ. μου ενωτ. AV†, pr. την S$^c$†



3 καθαρά μου ἡ καρδία ῥήμασιν,
σύνεσις δὲ χειλέων μου καθαρὰ νοήσει.
4 πνεῦμα θεῖον τὸ ποιῆσάν με,
πνοὴ δὲ παντοκράτορος ἡ διδάσκουσά με.
5 ἐὰν δύνῃ, δός μοι ἀπόκρισιν πρὸς ταῦτα·
ὑπόμεινον, στῆθι κατ᾽ ἐμὲ καὶ ἐγὼ κατὰ σέ.
6 ἐκ πηλοῦ διήρτισαι σὺ ὡς καὶ ἐγώ,
ἐκ τοῦ αὐτοῦ διηρτίσμεθα.
7 οὐχ ὁ φόβος μού σε στροβήσει,
οὐδὲ ἡ χείρ μου βαρεῖα ἔσται ἐπὶ σοί.
8 ※πλὴν εἶπας ἐν ὠσίν μου,⸔
φωνὴν ῥημάτων σου ἀκήκοα·
9 διότι λέγεις Καθαρός εἰμι οὐχ ἁμαρτών,
ἄμεμπτος δέ εἰμι, οὐ γὰρ ἠνόμησα·
10 μέμψιν δὲ κατ᾽ ἐμοῦ εὗρεν,
ἥγηται δέ με ὥσπερ ὑπεναντίον·
11 ἔθετο δὲ ἐν ξύλῳ τὸν πόδα μου,
ἐφύλαξεν δέ μου πάσας τὰς ὁδούς.
12 πῶς γὰρ λέγεις Δίκαιός εἰμι, καὶ οὐκ ἐπακήκοέν μου;
αἰώνιος γάρ ἐστιν ὁ ἐπάνω βροτῶν.
13 λέγεις δέ Διὰ τί τῆς δίκης μου οὐκ ἐπακήκοεν πᾶν ῥῆμα;
14 ἐν γὰρ τῷ ἅπαξ λαλῆσαι ὁ κύριος,
ἐν δὲ τῷ δευτέρῳ ἐνύπνιον,
15 ἢ ἐν μελέτῃ νυκτερινῇ,
ὡς ὅταν ἐπιπίπτῃ δεινὸς φόβος ἐπ᾽ ἀνθρώπους
ἐπὶ νυσταγμάτων ἐπὶ κοίτης·
16 τότε ἀνακαλύπτει νοῦν ἀνθρώπων,
ἐν εἴδεσιν φόβου τοιούτοις αὐτοὺς ἐξεφόβησεν
17 ἀποστρέψαι ἄνθρωπον ἐξ ἀδικίας,
τὸ δὲ σῶμα αὐτοῦ ἀπὸ πτώματος ἐρρύσατο.
18 ἐφείσατο δὲ τῆς ψυχῆς αὐτοῦ ἀπὸ θανάτου
καὶ μὴ πεσεῖν αὐτὸν ἐν πολέμῳ.

**3**$^1$ ρημ.] pr. εν AV† | 3$^2$ συνεσεις AV† | μου > S*† | καθαρα νοησει] -ραν θησ⟨ε⟩ι A†: Θ pro O; -ραν θησω V† | νοηση S† || **5**$^1$ δυνη] δυνηθης AV† | 5$^2$ στηθι] και στηθι συ AV† || **6**$^2$ διηρτισμ.] + πηλου AS$^c$V†: idem pr. C$^r$† || **7**$^1$ μου] σου A*† | σε στροβ.] tr. A || **8**$^2$ φωνην] + δε AS$^c$V† | σου > B† || **9**$^1$ αμαρτων] ημαρτον τοις εργοις AV† | 9$^2$ δε] > B†, γαρ S* || **10**$^2$ ηγ. δε] και ηγ. AV†: cf. **3** 12 || **11**$^1$ εν ξυλω τον π. μ.] τον π. μ. εν κυκλωματι A†: cf. **13** 27 | 11$^2$ εφυλ. δε] και εφυλ. AV†: cf. **3** 12 || **13** δε] γαρ AV† | δικης BS*†] δικαιοσυνης rel. | επακ.] + μου B† | παν ρημα] εν παντι ρηματι AV† || **15**$^1$ η] ως φασμα A*V†: cf. **20** 8 | 15$^2$ δεινος φοβ.] tr. AV† || **16**$^2$ αυτους εξεφοβ.] tr. A || **17**$^1$ εξ] απο BS† | αδικ.] + αυτου AV† | 17$^2$ πτωμ.] pr. αδικιας AV† || **18**$^1$ εφεισ. δε] και εφ. AV†: cf. **3** 12 | 18$^2$ και μη] του μη AS$^c$V†

19 πάλιν δὲ ἤλεγξεν αὐτὸν ἐν μαλακίᾳ ἐπὶ κοίτης
※καὶ πλῆθος ὀστῶν αὐτοῦ ἐνάρκησεν,↙
20 πᾶν δὲ βρωτὸν σίτου οὐ μὴ δύνηται προσδέξασθαι
※καὶ ἡ ψυχὴ αὐτοῦ βρῶσιν ἐπιθυμήσει,↙
21 ἕως ἂν σαπῶσιν αὐτοῦ αἱ σάρκες
καὶ ἀποδείξῃ τὰ ὀστᾶ αὐτοῦ κενά·
22 ἤγγισεν δὲ εἰς θάνατον ἡ ψυχὴ αὐτοῦ,
ἡ δὲ ζωὴ αὐτοῦ ἐν ᾅδῃ.
23 ἐὰν ὦσιν χίλιοι ἄγγελοι θανατηφόροι,
εἷς αὐτῶν οὐ μὴ τρώσῃ αὐτόν·
ἐὰν νοήσῃ τῇ καρδίᾳ ἐπιστραφῆναι ἐπὶ κύριον,
ἀναγγείλῃ δὲ ἀνθρώπῳ τὴν ἑαυτοῦ μέμψιν,
τὴν δὲ ἄνοιαν αὐτοῦ δείξῃ,
24 ἀνθέξεται τοῦ μὴ πεσεῖν αὐτὸν εἰς θάνατον,
ἀνανεώσει δὲ αὐτοῦ τὸ σῶμα ὥσπερ ἀλοιφὴν ἐπὶ τοίχου,
τὰ δὲ ὀστᾶ αὐτοῦ ἐμπλήσει μυελοῦ·
25 ἁπαλυνεῖ δὲ αὐτοῦ τὰς σάρκας ὥσπερ νηπίου,
ἀποκαταστήσει δὲ αὐτὸν ἀνδρωθέντα ἐν ἀνθρώποις.
26 εὐξάμενος δὲ πρὸς κύριον, καὶ δεκτὰ αὐτῷ ἔσται,
εἰσελεύσεται δὲ προσώπῳ καθαρῷ σὺν ἐξηγορίᾳ·
ἀποδώσει δὲ ἀνθρώποις δικαιοσύνην.
27 εἶτα τότε ἀπομέμψεται ἄνθρωπος αὐτὸς ἑαυτῷ λέγων
Οἷα συνετέλουν, καὶ οὐκ ἄξια ἤτασέν με ὧν ἥμαρτον.
28 ※σῶσον ψυχήν μου τοῦ μὴ ἐλθεῖν εἰς διαφθοράν,
※καὶ ἡ ζωή μου φῶς ὄψεται.
29 ※ἰδοὺ πάντα ταῦτα ἐργᾶται ὁ ἰσχυρὸς
※ὁδοὺς τρεῖς μετὰ ἀνδρός.↙
30 ἀλλ᾽ ἐρρύσατο τὴν ψυχήν μου ἐκ θανάτου,
ἵνα ἡ ζωή μου ἐν φωτὶ αἰνῇ αὐτόν.

**19**$^{1}$ εν] επι B†, > AV† || **20**$^{2}$ επιθυμει pl. || **22**$^{1}$ εγγιση AV† | εις θαν./η ψ. αυτου] tr. AC† (C mu. αυτου η ψ. pro η ψ. αυτου) | 22$^{2}$ η δε] + η B*† | αδη] pr. τω A || **23**$^{2}$ αυτων] pr. εξ A | 23$^{3}$ επι] προς B* | κυριον] pr. τον AV† | 23$^{5}$ την δε] και την AV†: cf. **3** 12 | ανοιαν] ανομιαν S$^{c}$ pl. || **24**$^{1}$ ανθεξ.] + αυτου AV† | αυτον > BS*† | 24$^{3}$ τα δε] και τα AV†: cf. **3** 12 || **25**$^{2}$ αποκ. δε] και αποκ. AV†: cf. **3** 12 || **26**$^{1}$ ευξαμενος δε] δε > S*†, ευξεται AV†, ευξαμενου δε αυτου S$^{c}$ | και > S | δεκτα αυτω εσται] εισακουσεται αυτου S*† | 26$^{2}$ καθαρω] ιλαρω BS*† | 26$^{3}$ ανθρωπω την δικαιοσυνην αυτου AV†: = 𝔐 || **27**$^{2}$ συνετελουμην AV(-μεν)† | ητασεν] ητοιμασεν S*† || **28**$^{1}$ ψυχην] pr. την AV† | ελθειν] pr. εξ A†, pr. εισ V | 28$^{2}$ η > AV† || **29**$^{1}$ παντα ταυτα V] tr. BSA pl. || **30**$^{1}$ αλλ] και AV† | 30$^{2}$ ζωη] ψυχη AS$^{c}$V† || post **30** AV† primo addunt **34** 1—5 ιωβ iuxta ueterem interpretationem (i. e. omissis uersibus 3. 4, qui Theodotionis sunt): υπολαβων δε ελιους λεγει· ακουσατε μου σοφοι, επισταμενοι ενωτιζεσθαι(pro -θε) το καλον. οτι ειρηκεν ιωβ(>V); deinde AV† addunt **33** 29. 30 iuxta interpretatio-



31 ἐνωτίζου, Ιωβ, καὶ ἄκουέ μου·
※κώφευσον, καὶ ἐγώ εἰμι λαλήσω.
32 ※εἰ εἰσὶν λόγοι, ἀποκρίθητί μοι·
※λάλησον, θέλω γὰρ δικαιωθῆναί σε.
33 ※εἰ μή, σὺ ἄκουσόν μου·
※κώφευσον, καὶ διδάξω σε σοφίαν.↙
**34** 1 Ὑπολαβὼν δὲ Ελιους λέγει
2 Ἀκούσατέ μου, σοφοί·
ἐπιστάμενοι, ἐνωτίζεσθε τὸ καλόν·
3 ※ὅτι οὖς λόγους δοκιμάζει,
※καὶ λάρυγξ γεύεται βρῶσιν.
4 ※κρίσιν ἑλώμεθα ἑαυτοῖς,
※γνῶμεν ἀνὰ μέσον ἑαυτῶν ὅ τι καλόν.↙
5 ὅτι εἴρηκεν Ιωβ Δίκαιός εἰμι,
ὁ κύριος ἀπήλλαξέν μου τὸ κρίμα,
6 ἐψεύσατο δὲ τῷ κρίματί μου,
※βίαιον τὸ βέλος μου ἄνευ ἀδικίας.
7 ※τίς ἀνὴρ ὥσπερ Ιωβ
※πίνων μυκτηρισμὸν ὥσπερ ὕδωρ↙
8 οὐχ ἁμαρτὼν οὐδὲ ἀσεβήσας
ἢ ὁδοῦ κοινωνήσας μετὰ ποιούντων τὰ ἄνομα
τοῦ πορευθῆναι μετὰ ἀσεβῶν;
9 μὴ γὰρ εἴπῃς ὅτι Οὐκ ἔσται ἐπισκοπὴ ἀνδρός·
καὶ ἐπισκοπὴ αὐτῷ παρὰ κυρίου.
10 διό, συνετοὶ καρδίας, ἀκούσατέ μου
Μή μοι εἴη ἔναντι κυρίου ἀσεβῆσαι
καὶ ἔναντι παντοκράτορος ταράξαι τὸ δίκαιον·
11 ἀλλὰ ἀποδιδοῖ ἀνθρώπῳ καθὰ ποιεῖ ἕκαστος αὐτῶν,

nem Theodotionis: ιδου παντα ταυτα (A ταυτα παντα: cf. supra 29$^{1}$) εργαται ο ισχυρος οδους τρ⟨ε⟩ις μετα ανδρος του επιστρεψαι ψυχην αυτου εκ διαφθορας του φωτισαι αυτω εν φωτι ζωντων; sed omnia, quae 𝔊 praebet, etiam in AV adsunt || **31**$^{1}$ ενωτ.] προσεχε AV† | ακουσον AV† | 31$^{2}$ και εγω ειμι (cf. Thack. p. 55)] ινα AV† || **32**$^{1}$ εισιν] εστιν B*S, εισι(ν) σοι AB$^{c}$, εστιν σοι S$^{c}$ | λογοι] λογος B*, λογοις (sic) S*† | 32$^{2}$ δικαιωθ. σε] tr. AV† || **33**$^{1}$ ει] + δε A | 33$^{2}$ σοφιαν > B†

**34** 2$^{2}$ το καλον (= 4 fin.)] > BS*O†, sed adest etiam in Sa || **3**$^{1}$ ους] νους AV†: cf. **12** 11 | λογ. δοκ.] tr. AV† | 3$^{2}$ και λαρ.] λαρ. δε AV†: cf. 10$^{3}$; contrarium uide **3** 12 || **4**$^{2}$ ο τι] τι A†; το V†: cf. 2$^{2}$ || **6**$^{1}$ εψευσ. δε] και εψ. AV†: cf. **3** 12 || **8**$^{1}$ αμαρτανων S*† | 8$^{2}$ η οδου κοινωνησας Sy Sa et unus cod. gr. et Sw.] η ουδ ου κοιν. BS*†, ουδε κοιν. οδου AV†, ουδ ολως κοιν. rel. (= La *neque omnino*) | ποιουντων] pr. των A || **9**$^{1}$ εστιν A | 9$^{2}$ αυτου A || **10**$^{1}$ καρδια A | 10$^{2}$ ειη / εν. κυρ.] tr. S† | 10$^{3}$ και εναντι] εναντι δε AV†: cf. 3$^{2}$ || **11**$^{1}$ αλλα] + γαρ AV† | αποδοι B$^{c}$†, αποδιδωσιν AV† | εποιει S†

※καὶ ἐν τρίβῳ ἀνδρὸς εὑρήσει αὐτόν.↙
12 οἴῃ δὲ τὸν κύριον ἄτοπα ποιήσειν;
ἢ ὁ παντοκράτωρ ταράξει κρίσιν;
13 ὃς ἐποίησεν τὴν γῆν·
τίς δέ ἐστιν ὁ ποιῶν τὴν ὑπ᾽ οὐρανὸν καὶ τὰ ἐνόντα πάντα;
14 εἰ γὰρ βούλοιτο συνέχειν
καὶ τὸ πνεῦμα παρ᾽ αὐτῷ κατασχεῖν,
15 τελευτήσει πᾶσα σὰρξ ὁμοθυμαδόν,
πᾶς δὲ βροτὸς εἰς γῆν ἀπελεύσεται, ὅθεν καὶ ἐπλάσθη.
16 εἰ δὲ μὴ νουθετῇ, ἄκουε ταῦτα,
ἐνωτίζου φωνὴν ῥημάτων.
17 ἰδὲ σὺ τὸν μισοῦντα ἄνομα
καὶ τὸν ὀλλύντα τοὺς πονηροὺς
ὄντα αἰώνιον δίκαιον.
18 ἀσεβὴς ὁ λέγων βασιλεῖ Παρανομεῖς,
※ἀσεβέστατε τοῖς ἄρχουσιν·↙
19 ὃς οὐκ ἐπῃσχύνθη πρόσωπον ἐντίμου
οὐδὲ οἶδεν τιμὴν θέσθαι ἁδροῖς
θαυμασθῆναι πρόσωπα αὐτῶν.
20 κενὰ δὲ αὐτοῖς ἀποβήσεται τὸ κεκραγέναι καὶ δεῖσθαι ἀνδρός·
ἐχρήσαντο γὰρ παρανόμως ἐκκλινομένων ἀδυνάτων.
21 αὐτὸς γὰρ ὁρατής ἐστιν ἔργων ἀνθρώπων,
λέληθεν δὲ αὐτὸν οὐδὲν ὧν πράσσουσιν,
22 οὐδὲ ἔσται τόπος τοῦ κρυβῆναι τοὺς ποιοῦντας τὰ ἄνομα·
23 ※ὅτι οὐκ ἐπ᾽ ἄνδρα θήσει ἔτι·↙
ὁ γὰρ κύριος πάντας ἐφορᾷ
24 ὁ καταλαμβάνων ἀνεξιχνίαστα,
ἔνδοξά τε καὶ ἐξαίσια, ὧν οὐκ ἔστιν ἀριθμός·
25 ὁ γνωρίζων αὐτῶν τὰ ἔργα
※καὶ στρέψει νύκτα, καὶ ταπεινωθήσονται.↙
26 ἔσβεσεν δὲ ἀσεβεῖς,

**12**[1] τον κυρ./ατοπα ποι.] tr. S† | ατοπα] pr. τα AV† | 12[2] κρισιν] το δικαιον AV† || **13**[2] ποιησας A† | ενοντα] εν > S† || **14**[1] συσχειν S^c | 14[2] κατεσχεν S*† || **15**[2] πας δε βροτος] βρ. δε AV† | και > S*† || **16**[1]] + ιωβ A V†: cf. **37** 2 || **17**[1] τον] pr. ουκ οιει AV† | ανομα] pr. τα A | 17[3] δικαιον] pr. ειναι AV† || **18**[2] ασεβεστατε B La(Sy dub.)] τε > S*† (ante τοις), -σταtoι AV†, -στατος S^c pl. | τοις αρχ. pendet ex λεγων || **19**[1] επησχυνθη compl.] ησχ. V mu., επεσχ. S†, επαισχ. B†, αισχ. A† | 19[2] ουδε οιδεν] ουκ εδωκεν δε AV† | αδροις] ανδρων AV(†) | 19[3]] pr. του AV† | προσωπα] pr. τα AV†, προσωπον S† || **20**[2] παρανομως] ανομως V†(* -μος), ανομοις A† | εκκλινομενων B Sy†] εκκλ⟨ε⟩ιομ. S La, εγκλειομ. mu.; εκκλιομενοις A†, εκκαιομενοις V† | αδυνατων] και αδυνατοις AV† || **21**[2] δε] γαρ S† || **22** εστιν S^c pl. || **23**[2] παντας] ς > S^c, τα παντα AV† || **25**[1] ο > AV† | 25[2] ταπεινωθησεται BS†



ὁρατοὶ δὲ ἐναντίον αὐτοῦ,
27 ὅτι ἐξέκλιναν ἐκ νόμου θεοῦ,
δικαιώματα δὲ αὐτοῦ οὐκ ἐπέγνωσαν
28 ※τοῦ ἐπαγαγεῖν ἐπ᾽ αὐτὸν κραυγὴν πένητος,
※καὶ κραυγὴν πτωχῶν εἰσακούσεται.
29 ※καὶ αὐτὸς ἡσυχίαν παρέξει, καὶ τίς καταδικάσεται;
※καὶ κρύψει πρόσωπον, καὶ τίς ὄψεται αὐτόν;
※καὶ κατὰ ἔθνους καὶ κατὰ ἀνθρώπου ὁμοῦ
30 ※βασιλεύων ἄνθρωπον ὑποκριτὴν ἀπὸ δυσκολίας λαοῦ.
31 ※ὅτι πρὸς τὸν ἰσχυρὸν ὁ λέγων Εἴληφα, οὐκ ἐνεχυράσω·
32 ※ἄνευ ἐμαυτοῦ ὄψομαι, σὺ δεῖξόν μοι·
※εἰ ἀδικίαν ἠργασάμην, οὐ μὴ προσθήσω.
33 ※μὴ παρὰ σοῦ ἀποτείσει αὐτήν;
※ὅτι ἀπώσῃ, ὅτι σὺ ἐκλέξῃ καὶ οὐκ ἐγώ·
※καὶ τί ἔγνως λάλησον.↙
34 διὸ συνετοὶ καρδίας ἐροῦσιν ταῦτα,
ἀνὴρ δὲ σοφὸς ἀκήκοέν μου τὸ ῥῆμα.
35 Ιωβ δὲ οὐκ ἐν συνέσει ἐλάλησεν,
τὰ δὲ ῥήματα αὐτοῦ οὐκ ἐν ἐπιστήμῃ.
36 οὐ μὴν δὲ ἀλλὰ μάθε, Ιωβ,
μὴ δῷς ἔτι ἀνταπόκρισιν ὥσπερ οἱ ἄφρονες,
37 ἵνα μὴ προσθῶμεν ἐφ᾽ ἁμαρτίαις ἡμῶν,
ἀνομία δὲ ἐφ᾽ ἡμῖν λογισθήσεται
πολλὰ λαλούντων ῥήματα ἐναντίον τοῦ κυρίου.
**35** 1 Ὑπολαβὼν δὲ Ελιους λέγει
2 Τί τοῦτο ἡγήσω ἐν κρίσει;
σὺ τίς εἶ ὅτι εἶπας Δίκαιός εἰμι ἔναντι κυρίου;
3 ἢ ἐρεῖς Τί ποιήσω ἁμαρτών;
4 ἐγὼ σοὶ δώσω ἀπόκρισιν
καὶ τοῖς τρισὶν φίλοις σου.
5 ἀνάβλεψον εἰς τὸν οὐρανὸν καὶ ἰδέ,
κατάμαθε δὲ νέφη ὡς ὑψηλὰ ἀπὸ σοῦ.

**26**[2]] και(cf. **3** 12) ορατοι εγενοντο εναντι(ον) των εχ(uel κ)θρων AV†: cf. *O* εναντιον ÷των εχθρων↙ αυτου || **28**[1] πενητων BS*† || **29**[1] παρεξεται C pl. || **31** ο λεγων > S*† | ενεχυρασα AV† || **32**[1] οψομαι > S*† | δειξον] pr. δε V†, διδαξον A† | μοι] με AV† | 32[2] ηργασαμην B*S*AV] ειργ. B^cS^c pl.: cf. **24** 6 | προσθω AV† || **33**[1] παρα] απο B† | 33[2] απωσω A | εκδεξη S† || **34**[1] καρδια AS^cV | 34[2] σοφος] φρονιμος A† || **35**[1] δε > AV† | ελαλησας A V† | 35[2] δε > BS*† | αυτου] σου AV† || **36**[1] δε > S*† | 36[2] ανταποκρ.] αντ > AV†: cf. **13** 22 || **37**[1] αμαρτιας B | 37[2] λογισθ.] εστε(pro -ται) AV† | 37[3] λαλουσιν AV† | εναντι AV† | του > A
**35** 3 > BS*† || **4**[1] εγω] + δε S^c pl. | σοι > S*† | 4[2] φιλοις σου] tr. A || **5**[2] δε > A | νεφη] τα νεφη και ιδε AV†

6 εἰ ἥμαρτες, τί πράξεις;
εἰ δὲ καὶ πολλὰ ἠνόμησας, τί δύνασαι ποιῆσαι;
7 ἐπεὶ δὲ οὖν δίκαιος εἶ, τί δώσεις αὐτῷ;
※ἢ τί ἐκ χειρός σου λήμψεται;
8 ※ἀνδρὶ τῷ ὁμοίῳ σου ἡ ἀσέβειά σου,
※καὶ υἱῷ ἀνθρώπου ἡ δικαιοσύνη σου.
9 ※ἀπὸ πλήθους συκοφαντούμενοι κεκράξονται,
※βοήσονται ἀπὸ βραχίονος πολλῶν.
10 ※καὶ οὐκ εἶπεν Ποῦ ἐστιν ὁ θεὸς ὁ ποιήσας με,↙
ὁ κατατάσσων φυλακὰς νυκτερινάς,
11 ὁ διορίζων με ἀπὸ τετραπόδων γῆς,
ἀπὸ δὲ πετεινῶν οὐρανοῦ;
12 ※ἐκεῖ κεκράξονται, καὶ οὐ μὴ εἰσακούσῃ↙
καὶ ἀπὸ ὕβρεως πονηρῶν.
13 ἄτοπα γὰρ οὐ βούλεται ὁ κύριος ἰδεῖν·
αὐτὸς γὰρ ὁ παντοκράτωρ ὁρατής ἐστιν
14 τῶν συντελούντων τὰ ἄνομα καὶ σώσει με.
κρίθητι δὲ ἐναντίον αὐτοῦ, εἰ δύνασαι αἰνέσαι αὐτόν, ὡς ἔστιν.
15 ※καὶ νῦν, ὅτι οὐκ ἔστιν ἐπισκεπτόμενος, ὀργὴν αὐτοῦ
※καὶ οὐκ ἔγνω παραπτώματι σφόδρα·
16 ※καὶ Ιωβ ματαίως ἀνοίγει τὸ στόμα αὐτοῦ,
※ἐν ἀγνωσίᾳ ῥήματα βαρύνει.↙

36 1 Προσθεὶς δὲ Ελιους ἔτι λέγει
2 Μεῖνόν με μικρὸν ἔτι, ἵνα διδάξω σε·
ἔτι γὰρ ἐν ἐμοί ἐστιν λέξις.
3 ἀναλαβὼν τὴν ἐπιστήμην μου μακρὰν
ἔργοις δέ μου δίκαια ἐρῶ
4 ἐπ' ἀληθείας καὶ οὐκ ἄδικα ῥήματα·
ἀδίκως συνίεις.
5 γίγνωσκε δὲ ὅτι ὁ κύριος οὐ μὴ ἀποποιήσηται τὸν ἄκακον.
※δυνατὸς ἰσχύι καρδίας
6 ※ἀσεβῆ οὐ μὴ ζωοποιήσει
※καὶ κρίμα πτωχῶν δώσει.
7 ※οὐκ ἀφελεῖ ἀπὸ δικαίου ὀφθαλμοὺς αὐτοῦ·

$6^{2}$ πολλα ηνομ.] tr. AV† | δυνασαι] δυναμαι σοι S*† || $7^{1}$ επει δε ουν] επειδη ουν Sᶜ mu.; και ει AV† = *et si* La || $11^{1}$ ο > S*† | $11^{2}$ απο δε] και απο AV†: cf. 3 12 | fin.] + σοφιζη(pro -ζει) ημας V†: item Symg ex α', cf. La^xt ※*sapientiorem me fecit* || $12^{2}$ και > AV La† = 𝔐 || $13^{1}$ ου βουλ. ο κυρ. / ιδειν BSO†] tr. rel. || $14^{1}$ και] ος AV† | $14^{2}$ αινεσαι αυτον] tr. A || $15^{2}$ παραπτωμα τι Sixt.

36 $2^{1}$ μεινον με μικρον] μικρ. με μειν. AV† | $2^{2}$ εν εμοι εστιν] μοι ενεστιν AV† || $5^{1}$ γι(γ)νωσκε δε] γ(ε)ινωσκω δε (+ εγω A†) AV† || $6^{1}$ ασεβη B S*O†] -βων rel. || $7^{1}$ οφθαλμον A†



※καὶ μετὰ βασιλέων εἰς θρόνον
※καὶ καθιεῖ αὐτοὺς εἰς νεῖκος, καὶ ὑψωθήσονται.
8 ※καὶ εἰ πεπεδημένοι ἐν χειροπέδαις
※συσχεθήσονται ἐν σχοινίοις πενίας,
9 ※καὶ ἀναγγελεῖ αὐτοῖς τὰ ἔργα αὐτῶν
※καὶ τὰ παραπτώματα αὐτῶν, ὅτι ἰσχύσουσιν.↙
10 ἀλλὰ τοῦ δικαίου εἰσακούσεται·
※καὶ εἶπεν ὅτι ἐπιστραφήσονται ἐξ ἀδικίας.
11 ※ἐὰν ἀκούσωσιν καὶ δουλεύσωσιν,
※συντελέσουσιν τὰς ἡμέρας αὐτῶν ἐν ἀγαθοῖς
※καὶ τὰ ἔτη αὐτῶν ἐν εὐπρεπείαις.↙
12 ἀσεβεῖς δὲ οὐ διασῴζει παρὰ τὸ μὴ βούλεσθαι εἰδέναι αὐτοὺς τὸν κύριον
καὶ διότι νουθετούμενοι ἀνήκοοι ἦσαν.
13 ※καὶ ὑποκριταὶ καρδίᾳ τάξουσιν θυμόν·
※οὐ βοήσονται, ὅτι ἔδησεν αὐτούς.↙
14 ἀποθάνοι τοίνυν ἐν νεότητι ἡ ψυχὴ αὐτῶν,
ἡ δὲ ζωὴ αὐτῶν τιτρωσκομένη ὑπὸ ἀγγέλων,
15 ἀνθ' ὧν ἔθλιψαν ἀσθενῆ καὶ ἀδύνατον·
κρίμα δὲ πραέων ἐκθήσει.
16 ※καὶ προσέτι ἠπάτησέν σε ἐκ στόματος ἐχθροῦ·
※ἄβυσσος, κατάχυσις ὑποκάτω αὐτῆς·
※καὶ κατέβη τράπεζά σου πλήρης πιότητος.↙
17 οὐχ ὑστερήσει δὲ ἀπὸ δικαίων κρίμα,
18 θυμὸς δὲ ἐπ' ἀσεβεῖς ἔσται
δι' ἀσέβειαν δώρων, ὧν ἐδέχοντο ἐπ' ἀδικίαις.
19 μή σε ἐκκλινάτω ἑκὼν ὁ νοῦς
δεήσεως ἐν ἀνάγκῃ ὄντων ἀδυνάτων,
※καὶ πάντας τοὺς κραταιοῦντας ἰσχύν.
20 ※μὴ ἐξελκύσῃς τὴν νύκτα
※τοῦ ἀναβῆναι λαοὺς ἀντ' αὐτῶν·↙
21 ἀλλὰ φύλαξαι μὴ πράξῃς ἄτοπα·

$7^{2}$ βασιλεως S* | $7^{3}$ και $1^{0}$ > SA | εις νεικος / και] tr. AV | υψωθησεται A || $8^{1}$ ει Gra.] οι mss. | $8^{2}$ σχοινιω Sᶜ pl. || $9^{1}$ αυτοις] -των S*† | αυτων ⌒ $9^{2}$ αυτων S*† | $9^{2}$ οταν ισχυσωσιν AV† || $12^{1}$ ειδεναι αυτους] tr. A pl. || $14^{1}$ αποθανη A† | $14^{2}$ τιτρωσκ.] + ειη AV Symg† || $16^{1}$ προσετι ηπατησεν Sᶜ†(cf. etiam Field)] προσεπιηπατ. uel sim. rel. | $16^{2}$ καταχυσεις A† || 17 ουχ υστ. δε] και ουχ υστ. AV†: cf. 3 12 || $18^{1}$ εσται] ηξει AV† | $18^{2}$ ασεβειας S | αδικειας AV || $19^{1}$ εκκλινη AV† | εκων / ο νους] tr. AV† | $19^{2}$ εν αν. οντων / αδυν.] tr. AV† | stichos $19^{3}$+$20^{1.2}$ ex θ' additos AV† inserunt non ante, sed post $21^{1}$: cf. 20 20; sed V repetit $21^{1}$ post $20^{2}$ | $19^{3}$ κρατουντας S*† || $21^{1}$ ατοπα (cf. 4 8 11 11 etc.)] αδικα BS*†, ανομα AV†; sed in repetitione stichi (cf. sup.) etiam V ατοπα

※ἐπὶ τοῦτον γὰρ ἐξείλω ἀπὸ πτωχείας.
22 ※ἰδοὺ ὁ ἰσχυρὸς κραταιώσει ἐν ἰσχύι αὐτοῦ ·↙
τίς γάρ ἐστιν κατ' αὐτὸν δυνάστης;
23 τίς δέ ἐστιν ὁ ἐτάζων αὐτοῦ τὰ ἔργα;
ἢ τίς ὁ εἴπας Ἔπραξεν ἄδικα;
24 μνήσθητι ὅτι μεγάλα ἐστὶν αὐτοῦ τὰ ἔργα,
※ὧν ἦρξαν ἄνδρες·
25 ※πᾶς ἄνθρωπος εἶδεν ἐν ἑαυτῷ,↙
ὅσοι τιτρωσκόμενοί εἰσιν βροτοί.
26 ※ἰδοὺ ὁ ἰσχυρὸς πολύς, καὶ οὐ γνωσόμεθα·
※ἀριθμὸς ἐτῶν αὐτοῦ καὶ ἀπέραντος.↙
27 ἀριθμηταὶ δὲ αὐτῷ σταγόνες ὑετοῦ,
※καὶ ἐπιχυθήσονται ὑετῷ εἰς νεφέλην·
28 ※ῥυήσονται παλαιώματα,↙
ἐσκίασεν δὲ νέφη ἐπὶ ἀμυθήτων βροτῶν.
28a ὥραν ἔθετο κτήνεσιν,
οἴδασιν δὲ κοίτης τάξιν.
28b ἐπὶ τούτοις πᾶσιν οὐκ ἐξίσταταί σου ἡ διάνοια
οὐδὲ διαλλάσσεταί σου ἡ καρδία ἀπὸ σώματος;
29 ※καὶ ἐὰν συνῇ ἀπεκτάσεις νεφέλης,
※ἰσότητα σκηνῆς αὐτοῦ,
30 ※ἰδοὺ ἐκτείνει ἐπ' αὐτὸν ηδω
※καὶ ῥιζώματα τῆς θαλάσσης ἐκάλυψεν.
31 ※ἐν γὰρ αὐτοῖς κρινεῖ λαούς,
※δώσει τροφὴν τῷ ἰσχύοντι.
32 ※ἐπὶ χειρῶν ἐκάλυψεν φῶς
※καὶ ἐνετείλατο περὶ αὐτῆς ἐν ἀπαντῶντι·
33 ※ἀναγγελεῖ περὶ αὐτοῦ φίλον αὐτοῦ·
※κτῆσις καὶ περὶ ἀδικίας.
**37** 1 ※καὶ ταύτης ἐταράχθη ἡ καρδία μου
※καὶ ἀπερρύη ἐκ τοῦ τόπου αὐτῆς.

**21**$^{2}$ επι τουτον BAV(†)] επι τουτων S*†, απο τουτων Sc pl. || **22**$^{1}$ κραταιωσει] ει > S†, + σε A || **23**$^{2}$ η > S† || **24**$^{1}$ μνησθ.] + ουν ιωβ AV† | εστιν αυτου] tr. A†, εστιν > V† | 24$^{2}$ ων] ης S*† || **26**$^{1}$ ου > S*† | 26$^{2}$ αριθμητος S† || **27**$^{1}$ αναριθμητοι S*† | σταγ. υετου] tr. AV† || **28**$^{2}$ αμυθητω βροτω B† (S*† επιθυμηταω[sic] pro επι αμυθητων) || **28**a+b praebent BS AV† hoc loco, mu. post **37** 5$^{1}$, mu. ambis locis || **28**a$^{2}$ οιδ. δε] και οιδ. AV†: cf. **3** 12 || **28**b(cf. **37** 1)$^{1}$ εξιστατο A† | 28b$^{2}$ σωμ.] pr. του A† || **29**$^{1}$ συνης επεκτασιν AScV† || **30**$^{1}$ εκτεινει *O* mu.] εκτενει BSA | αυτον] -την SA | ηδω (sic etiam Sc)] η ωδη BS*†, (το) τοξον AVSmg Symg† | 30$^{2}$ ριζωμα A† || **31**$^{2}$ ισχ.] ακουοντι B† || **32**$^{2}$ αυτης] -του ScV†(A* dub.) || **33**$^{2}$ κτησις(A -σεις) Ac pl.] pr. κυριος BS, pr. κυριου A*V
**37** 1$^{1}$ ταυτης] pr. υπερ A



2 ※ἄκουε ἀκοὴν ἐν ὀργῇ θυμοῦ κυρίου,
※καὶ μελέτη ἐκ στόματος αὐτοῦ ἐξελεύσεται.
3 ※ὑποκάτω παντὸς τοῦ οὐρανοῦ ἀρχὴ αὐτοῦ,
※καὶ τὸ φῶς αὐτοῦ ἐπὶ πτερύγων τῆς γῆς.
4 ※ὀπίσω αὐτοῦ βοήσεται φωνή,
※βροντήσει ἐν φωνῇ ὕβρεως αὐτοῦ,
※καὶ οὐκ ἀνταλλάξει αὐτούς, ὅτι ἀκούσει φωνὴν αὐτοῦ.
5 ※βροντήσει ὁ ἰσχυρὸς ἐν φωνῇ αὐτοῦ θαυμάσια ·↙
ἐποίησεν γὰρ μεγάλα, ἃ οὐκ ᾔδειμεν,
6 συντάσσων χιόνι Γίνου ἐπὶ τῆς γῆς·
※καὶ χειμὼν ὑετός, καὶ χειμὼν ὑετῶν δυναστείας αὐτοῦ.
7 ※ἐν χειρὶ παντὸς ἀνθρώπου κατασφραγίζει,↙
ἵνα γνῷ πᾶς ἄνθρωπος τὴν ἑαυτοῦ ἀσθένειαν.
8 εἰσῆλθεν δὲ θηρία ὑπὸ σκέπην,
ἡσύχασαν δὲ ἐπὶ κοίτης.
9 ἐκ ταμιείων ἐπέρχονται δῖναι,
ἀπὸ δὲ ἀκρωτηρίων ψῦχος.
10 ※καὶ ἀπὸ πνοῆς ἰσχυροῦ δώσει πάγος,↙
οἰακίζει δὲ τὸ ὕδωρ ὡς ἐὰν βούληται·
11 ※καὶ ἐκλεκτὸν καταπλάσσει νεφέλη,
※διασκορπιεῖ νέφος φῶς αὐτοῦ.
12 ※καὶ αὐτὸς κυκλώματα διαστρέψει
※ἐν θεεβουλαθω εἰς ἔργα αὐτῶν·
※πάντα, ὅσα ἂν ἐντείληται αὐτοῖς,↙
ταῦτα συντέτακται παρ' αὐτοῦ ἐπὶ τῆς γῆς,
13 ※ἐὰν εἰς παιδείαν, ἐὰν εἰς τὴν γῆν αὐτοῦ,
※ἐὰν εἰς ἔλεος εὑρήσει αὐτόν.↙
14 ἐνωτίζου ταῦτα, Ιωβ·
στῆθι νουθετοῦ δύναμιν κυρίου.
15 οἴδαμεν ὅτι ὁ θεὸς ἔθετο ἔργα αὐτοῦ
φῶς ποιήσας ἐκ σκότους.

**2**$^{1}$ ακουε] + ιωβ AScV†: cf. **34** 16 || **3**$^{1}$ > A† | 3$^{2}$ της > AV† || **4**$^{3}$ ακουσει mu.] -ση BSA (S*† etiam ανταλλαξη) | φωνης S*† || **5**$^{1}$ εν φωνη / αυτου] tr. S*† || **6**$^{1}$ γινου επι της γης] επι γης γεινου A† | 6$^{2}$ και 1$^{0}$⌒2$^{0}$ Sc pl. | χειμων 1$^{0}$] χειμωνι ινα η A† | δυναστειαις AV† || **8**$^{1}$ εισηλθον A | σκεπης A† | 8$^{2}$ ησυχασαν δε] και(cf. **3** 12) ησυχασεν AV† || **9**$^{1}$ εξερχ. AV† | διναι Gra.(pr. αι)] οδυναι mss || **10**$^{2}$ το > AV† || **11**$^{1}$ καταπλησσει AScV(†) | 11$^{2}$ διασκορπισει A† || **12**$^{1}$ διαστρεφει S† | 12$^{2}$ εν θεεβουλαθω εις Complut.] εν -θωθ εις B, εθετο βουλαθ εις S*†, ενθα εβουλετο θεις Sc†, εν τοις κατωτατω θεις AV(†) | 12$^{3}$ εντειλη A† || **13**$^{1}$ εαν bis] + τε SA pl. | 13$^{2}$ εαν] + τε A | ευρησει αυτον] αυτου A† || **14**$^{1}$ ταυτα ιωβ] tr. A† | 14$^{2}$ νουθετουμενος B || **15**$^{1}$ οιδας AV†: = 𝔐 | οτι] ως A†, ως οτε V† | ο θεος / εθετο AV† | 15$^{2}$ φως ποιησας] tr. AV†

16 ἐπίσταται δὲ διάκρισιν νεφῶν,
ἐξαίσια δὲ πτώματα πονηρῶν.
17 σοῦ δὲ ἡ στολὴ θερμή·
ἡσυχάζεται δὲ ἐπὶ τῆς γῆς.
18 ※στερεώσεις μετ᾽ αὐτοῦ εἰς παλαιώματα,
※ἰσχυραὶ ὡς ὅρασις ἐπιχύσεως.↙
19 διὰ τί; δίδαξόν με τί ἐροῦμεν αὐτῷ·
καὶ παυσώμεθα πολλὰ λέγοντες.
20 μὴ βίβλος ἢ γραμματεύς μοι παρέστηκεν,
ἵνα ἄνθρωπον ἑστηκὼς κατασιωπήσω;
21 πᾶσιν δ᾽ οὐχ ὁρατὸν τὸ φῶς,
※τηλαυγές ἐστιν ἐν τοῖς παλαιώμασιν,↙
ὥσπερ τὸ παρ᾽ αὐτοῦ ἐπὶ νεφῶν.
22 ἀπὸ βορρᾶ νέφη χρυσαυγοῦντα·
ἐπὶ τούτοις μεγάλη ἡ δόξα καὶ τιμὴ παντοκράτορος.
23 καὶ οὐχ εὑρίσκομεν ἄλλον ὅμοιον τῇ ἰσχύι αὐτοῦ·
ὁ τὰ δίκαια κρίνων, οὐκ οἴει ἐπακούειν αὐτόν;
24 διὸ φοβηθήσονται αὐτὸν οἱ ἄνθρωποι,
φοβηθήσονται δὲ αὐτὸν καὶ οἱ σοφοὶ καρδίᾳ.

38 1 Μετὰ δὲ τὸ παύσασθαι Ελιουν τῆς λέξεως εἶπεν ὁ κύριος
τῷ Ιωβ διὰ λαίλαπος καὶ νεφῶν
2 Τίς οὗτος ὁ κρύπτων με βουλήν,
συνέχων δὲ ῥήματα ἐν καρδίᾳ, ἐμὲ δὲ οἴεται κρύπτειν;
3 ζῶσαι ὥσπερ ἀνὴρ τὴν ὀσφύν σου,
ἐρωτήσω δέ σε, σὺ δέ μοι ἀποκρίθητι.
4 ποῦ ἦς ἐν τῷ θεμελιοῦν με τὴν γῆν;
ἀπάγγειλον δέ μοι, εἰ ἐπίστῃ σύνεσιν.
5 τίς ἔθετο τὰ μέτρα αὐτῆς, εἰ οἶδας;
ἢ τίς ὁ ἐπαγαγὼν σπαρτίον ἐπ᾽ αὐτῆς;
6 ἐπὶ τίνος οἱ κρίκοι αὐτῆς πεπήγασιν;
τίς δέ ἐστιν ὁ βαλὼν λίθον γωνιαῖον ἐπ᾽ αὐτῆς;
7 ὅτε ἐγενήθησαν ἄστρα,

16$^1$ επισταται AV†: = 𝔐 | διαθεσιν S† || 17$^2$ fin. BS*A†] + απο νοτου rel. (in O sub ※) || 18$^1$ στερεωθεις AV† || 19$^2$ παυσομεθα S || 20$^2$ εστως AV† || 21$^1$ δ] γαρ AV† | το > AV† | 21$^3$] + εξελθεν(sic) A†, + εξηλθον V† || 22$^2$ παντοκρατ. (in 𝔐 ad 23 tractum) BS*O†] pr. του AV†, pr. παρα rel. || 23$^1$ τη] pr. αυτω και AV† | 23$^2$ ουκ — fin.] οιει οτι ουκ εισακουει αυτος A V† | επακουσειν S† || 24$^1$ οι > A | 24$^2$ καρδια] pr. τη AV†
38 1 νεφους A†: ex 40 6 || 2$^1$ με > S*† || 3$^2$ σε > B†: cf. 42 4 et 40 7 || 4$^1$ ης] ησθα AV†: cf. 22 3 | εν τω θεμ. με] οτε εθεμελιωσα AV† | 4$^2$ αναγγ. AV† | δε > AV† | επιστασαι A || 6$^1$] pr. η S† | τινος] + δε AV† | κρικοι] στυλοι AV† | 6$^2$ βαλλων SV† || 7$^1$ εγενηθη A



ᾔνεσάν με φωνῇ μεγάλῃ πάντες ἄγγελοί μου.
8 ἔφραξα δὲ θάλασσαν πύλαις,
ὅτε ἐμαίμασσεν ἐκ κοιλίας μητρὸς αὐτῆς ἐκπορευομένη·
9 ἐθέμην δὲ αὐτῇ νέφος ἀμφίασιν,
ὁμίχλῃ δὲ αὐτὴν ἐσπαργάνωσα·
10 ἐθέμην δὲ αὐτῇ ὅρια
περιθεὶς κλεῖθρα καὶ πύλας·
11 εἶπα δὲ αὐτῇ Μέχρι τούτου ἐλεύσῃ καὶ οὐχ ὑπερβήσῃ,
ἀλλ᾽ ἐν σεαυτῇ συντριβήσεταί σου τὰ κύματα.
12 ἦ ἐπὶ σοῦ συντέταχα φέγγος πρωινόν,
ἑωσφόρος δὲ εἶδεν τὴν ἑαυτοῦ τάξιν
13 ἐπιλαβέσθαι πτερύγων γῆς,
ἐκτινάξαι ἀσεβεῖς ἐξ αὐτῆς;
14 ἦ σὺ λαβὼν γῆν πηλὸν ἔπλασας ζῷον
καὶ λαλητὸν αὐτὸν ἔθου ἐπὶ γῆς;
15 ἀφεῖλας δὲ ἀπὸ ἀσεβῶν τὸ φῶς,
βραχίονα δὲ ὑπερηφάνων συνέτριψας;
16 ἦλθες δὲ ἐπὶ πηγὴν θαλάσσης,
ἐν δὲ ἴχνεσιν ἀβύσσου περιεπάτησας;
17 ἀνοίγονται δέ σοι φόβῳ πύλαι θανάτου,
πυλωροὶ δὲ ᾅδου ἰδόντες σε ἔπτηξαν;
18 νενουθέτησαι δὲ τὸ εὖρος τῆς ὑπ᾽ οὐρανόν;
ἀνάγγειλον δή μοι πόση τίς ἐστιν.
19 ποίᾳ δὲ γῇ αὐλίζεται τὸ φῶς,
σκότους δὲ ποῖος ὁ τόπος;
20 εἰ ἀγάγοις με εἰς ὅρια αὐτῶν;
εἰ δὲ καὶ ἐπίστασαι τρίβους αὐτῶν;
21 οἶδα ἄρα ὅτι τότε γεγέννησαι,
ἀριθμὸς δὲ ἐτῶν σου πολύς.
22 ἦλθες δὲ ἐπὶ θησαυροὺς χιόνος,
θησαυροὺς δὲ χαλάζης ἑόρακας.
23 ἀπόκειται δέ σοι εἰς ὥραν ἐχθρῶν,
εἰς ἡμέραν πολέμου καὶ μάχης.
24 πόθεν δὲ ἐκπορεύεται πάχνη
ἢ διασκεδάννυται νότος εἰς τὴν ὑπ᾽ οὐρανόν;

7$^2$ φωνη] pr. εν AV† | fin.] + και υμνησαν AV† || 8$^2$ εμαιμασσεν(S*† -μαξεν) ... εκπορευομενη] εμαιουτο και ... εξεπορευετο AV† | αυτη B† || 12$^2$ επιδεν A†, εφιδεν(cf. Thack. p. 125) V† || 13$^2$] pr. και AV† || 14$^2$ αυτο AS$^c$ || 15$^1$ αφιλω A†, αφιλου(cf. Thack. p. 211) V† | 15$^2$ βραχ. δε] και βρ. AV†: cf. 3 12 || 16$^1$ πηγην] γην A || 18$^2$ δη] δε A | ποση η τις (uel ποση ητις?) A || 19$^1$] pr. εν AV† | το > A† | 19$^2$ ο] εστιν AV† || 20$^1$ ει] + αρα A || 21$^1$ οιδας S$^c$pl.: = 𝔐 | τοτε] εις τουτο AV† || 22$^2$ χαλ.] θαλασσης S*† || 23$^1$ αποκ(ε)ινται AV† | 23$^2$ πολεμων B†

25 τίς δὲ ἡτοίμασεν ὑετῷ λάβρῳ ῥύσιν,
ὁδὸν δὲ κυδοιμῶν
26 ※τοῦ ὑετίσαι ἐπὶ γῆν, οὗ οὐκ ἀνήρ,
※ἔρημον, οὗ οὐχ ὑπάρχει ἄνθρωπος ἐν αὐτῇ,
27 ※τοῦ χορτάσαι ἄβατον καὶ ἀοίκητον
※καὶ τοῦ ἐκβλαστῆσαι ἔξοδον χλόης;↙
28 τίς ἐστιν ὑετοῦ πατήρ;
τίς δέ ἐστιν ὁ τετοκὼς βώλους δρόσου;
29 ἐκ γαστρὸς δὲ τίνος ἐκπορεύεται ὁ κρύσταλλος;
πάχνην δὲ ἐν οὐρανῷ τίς τέτοκεν,
30 ἣ καταβαίνει ὥσπερ ὕδωρ ῥέον;
πρόσωπον δὲ ἀβύσσου τίς ἔπηξεν;
31 συνῆκας δὲ δεσμὸν Πλειάδος
καὶ φραγμὸν Ὠρίωνος ἤνοιξας;
32 ※ἢ διανοίξεις μαζουρωθ ἐν καιρῷ αὐτοῦ
※καὶ Ἕσπερον ἐπὶ κόμης αὐτοῦ ἄξεις αὐτά;↙
33 ἐπίστασαι δὲ τροπὰς οὐρανοῦ
ἢ τὰ ὑπ᾽ οὐρανὸν ὁμοθυμαδὸν γινόμενα;
34 καλέσεις δὲ νέφος φωνῇ,
καὶ τρόμῳ ὕδατος λάβρῳ ὑπακούσεταί σου;
35 ἀποστελεῖς δὲ κεραυνοὺς καὶ πορεύσονται;
ἐροῦσιν δέ σοι Τί ἐστιν;
36 τίς δὲ ἔδωκεν γυναιξὶν ὑφάσματος σοφίαν
ἢ ποικιλτικὴν ἐπιστήμην;
37 τίς δὲ ὁ ἀριθμῶν νέφη σοφίᾳ,
οὐρανὸν δὲ εἰς γῆν ἔκλινεν;
38 κέχυται δὲ ὥσπερ γῆ κονία,
κεκόλληκα δὲ αὐτὸν ὥσπερ λίθῳ κύβον.
39 θηρεύσεις δὲ λέουσιν βοράν,
ψυχὰς δὲ δρακόντων ἐμπλήσεις;
40 δεδοίκασιν γὰρ ἐν κοίταις αὐτῶν,
κάθηνται δὲ ἐν ὕλαις ἐνεδρεύοντες.
41 τίς δὲ ἡτοίμασεν κόρακι βοράν;
νεοσσοὶ γὰρ αὐτοῦ πρὸς κύριον κεκράγασιν
πλανώμενοι τὰ σῖτα ζητοῦντες.

$26^1$ γην] pr. την S, γης A† || $28^2$ βωλους] pr. συνοχας και AV† || $29^1$ ο > SA || $30^1$ ωσπερ] ως AV† | $30^2$ αβυσσου Complut. Gra.] ασεβους mss. | επηξεν Gra.] επτηξεν B, ετηξεν SA || $31^1$ uerbo συνηκας ad praec. tracto praebent AV† δεσμον δε πλ(ε)ιαδος εγνως | $31^2$ και] η AV† || $32^2$ αξεις] pr. και AV† || $34^2$ δρομω AV† | υδ. λαβρω B†] tr. S†, υδ. λαβρου rel. | επακουσ. S† || $36^1$ δε > AV† | γυναικι AV† | $36^2$ η] και AV† | επιστημην] pr. σοφιας AV† || $38^1$ δε] γαρ AV† | γης AV† | κονια] χωνείᾳ Gra. | $38^2$ κεκολληκεν A† | λιθω κυβον] κυβον λιθοις AV† || $41^2$ γαρ] δε A | αυτου/προς κυριον] tr. A†



39 1 ※εἰ ἔγνως καιρὸν τοκετοῦ τραγελάφων πέτρας,↙
ἐφύλαξας δὲ ὠδῖνας ἐλάφων;
2 ἠρίθμησας δὲ αὐτῶν μῆνας πλήρεις τοκετοῦ,
ὠδῖνας δὲ αὐτῶν ἔλυσας;
3 ἐξέθρεψας δὲ αὐτῶν τὰ παιδία ἔξω φόβου;
※ὠδῖνας αὐτῶν ἐξαποστελεῖς;
4 ※ἀπορρήξουσιν τὰ τέκνα αὐτῶν, πληθυνθήσονται ἐν γενήματι,
※ἐξελεύσονται καὶ οὐ μὴ ἀνακάμψουσιν αὐτοῖς.↙
5 τίς δέ ἐστιν ὁ ἀφεὶς ὄνον ἄγριον ἐλεύθερον,
δεσμοὺς δὲ αὐτοῦ τίς ἔλυσεν;
6 ἐθέμην δὲ τὴν δίαιταν αὐτοῦ ἔρημον
※καὶ τὰ σκηνώματα αὐτοῦ ἁλμυρίδα·↙
7 καταγελῶν πολυοχλίας πόλεως,
μέμψιν δὲ φορολόγου οὐκ ἀκούων
8 ※κατασκέψεται ὄρη νομὴν αὐτοῦ
※καὶ ὀπίσω παντὸς χλωροῦ ζητεῖ.↙
9 βουλήσεται δέ σοι μονόκερως δουλεῦσαι
ἢ κοιμηθῆναι ἐπὶ φάτνης σου;
10 δήσεις δὲ ἐν ἱμᾶσι ζυγὸν αὐτοῦ,
ἢ ἑλκύσει σου αὔλακας ἐν πεδίῳ;
11 πέποιθας δὲ ἐπ᾽ αὐτῷ, ὅτι πολλὴ ἡ ἰσχὺς αὐτοῦ,
ἐπαφήσεις δὲ αὐτῷ τὰ ἔργα σου;
12 πιστεύσεις δὲ ὅτι ἀποδώσει σοι τὸν σπόρον,
εἰσοίσει δέ σου τὸν ἅλωνα;
13 ※πτέρυξ τερπομένων νεελασα,
※ἐὰν συλλάβῃ ασιδα καὶ νεσσα·
14 ※ὅτι ἀφήσει εἰς γῆν τὰ ᾠὰ αὐτῆς
※καὶ ἐπὶ χοῦν θάλψει
15 ※καὶ ἐπελάθετο ὅτι ποὺς σκορπιεῖ
※καὶ θηρία ἀγροῦ καταπατήσει·
16 ※ἀπεσκλήρυνεν τὰ τέκνα αὐτῆς ὥστε μὴ ἑαυτῇ,
※εἰς κενὸν ἐκοπίασεν ἄνευ φόβου·

39 stichum $1^1$ ex θ′ additum AV† inserunt ante stichos $3^2$—$4^2$ ipsos quoque ex θ′ additos: cf. 20 20 | $1^1$ ει] η A†, > V† || $2^1$ αυτων μηνας SAV†] tr. B, αυτων > mu. || $3^1$ εξω] ανευ AV† | $3^2$ ωδινας BS*O†] + δε rel.: ex $2^2$ | εξαποστελλεις S*† || $4^2$ εαυτοις AScV || $6^1$ την δι./αυτου] tr. A† || $8^2$ ζητησει AV† || $9^1$ μονοκ.] pr. ατραπελος AV(†) | δουλευειν S*† || $10^1$ εν ιμ. ζυγον/αυτου] tr. AV† | $10^2$ σοι AV† || $11^1$ η > B | $11^2$ επαφ. δε] και επαφ. AV†: cf. 3 12 || $12^1$ δε] + αυτω S*AV† (in O sub ※) | $12^2$ εισοισει δε] και εισ. AV†: cf. 3 12 | τον] την AV†: cf. Thack. p. 145 || $13^1$ νεελασα > BS*† | $13^2$ ασιδα] pr. η S† | νεεσσα A | fin.] + ελαλησαν AV† || $14^1$ ωα] ωτα SA† || $15^1$ επελαθοντο B†, επελθοντος (sic) S*† | πους] ς > BScV†: ante σ || $16^1$ αυτης] pr. ε B | εαυτη unus cod.] -την rel.

17 ※ὅτι κατεσιώπησεν αὐτῇ ὁ θεὸς σοφίαν
※καὶ οὐκ ἐμέρισεν αὐτῇ ἐν τῇ συνέσει.
18 ※κατὰ καιρὸν ἐν ὕψει ὑψώσει,
※καταγελάσεται ἵππου καὶ τοῦ ἐπιβάτου αὐτοῦ.↙
19 ἢ σὺ περιέθηκας ἵππῳ δύναμιν,
ἐνέδυσας δὲ τραχήλῳ αὐτοῦ φόβον;
20 περιέθηκας δὲ αὐτῷ πανοπλίαν,
δόξαν δὲ στηθέων αὐτοῦ τόλμῃ;
21 ἀνορύσσων ἐν πεδίῳ γαυριᾷ,
ἐκπορεύεται δὲ εἰς πεδίον ἐν ἰσχύι·
22 συναντῶν βέλει καταγελᾷ
καὶ οὐ μὴ ἀποστραφῇ ἀπὸ σιδήρου·
23 ἐπ' αὐτῷ γαυριᾷ τόξον καὶ μάχαιρα,
24 καὶ ὀργῇ ἀφανιεῖ τὴν γῆν
καὶ οὐ μὴ πιστεύσῃ, ἕως ἂν σημάνῃ σάλπιγξ·
25 σάλπιγγος δὲ σημαινούσης λέγει Εὖγε,
πόρρωθεν δὲ ὀσφραίνεται πολέμου σὺν ἅλματι καὶ κραυγῇ.
26 ἐκ δὲ τῆς σῆς ἐπιστήμης ἕστηκεν ἱέραξ
ἀναπετάσας τὰς πτέρυγας ἀκίνητος καθορῶν τὰ πρὸς νότον;
27 ἐπὶ δὲ σῷ προστάγματι ὑψοῦται ἀετός,
γὺψ δὲ ἐπὶ νοσσιᾶς αὐτοῦ καθεσθεὶς αὐλίζεται
28 ※ἐπ' ἐξοχῇ πέτρας καὶ ἀποκρύφῳ;↙
29 ἐκεῖσε ὢν ζητεῖ τὰ σῖτα,
※πόρρωθεν οἱ ὀφθαλμοὶ αὐτοῦ σκοπεύουσιν·↙
30 νεοσσοὶ δὲ αὐτοῦ φύρονται ἐν αἵματι,
οὗ δ' ἂν ὦσι τεθνεῶτες, παραχρῆμα εὑρίσκονται.
**40** 1 ※Καὶ ἀπεκρίθη κύριος ὁ θεὸς τῷ Ιωβ καὶ εἶπεν
2 ※Μὴ κρίσιν μετὰ ἱκανοῦ ἐκκλινεῖ,
※ἐλέγχων θεὸν ἀποκριθήσεται αὐτήν;↙
3 Ὑπολαβὼν δὲ Ιωβ λέγει τῷ κυρίῳ
4 Τί ἔτι ἐγὼ κρίνομαι νουθετούμενος καὶ ἐλέγχων κύριον
ἀκούων τοιαῦτα οὐθὲν ὤν;

**17$^{1}$** κατεπηξεν S*† | 17$^{2}$ ουκ > S*† | εμερ. αυτη] + ο θεος AV† || **18$^{1}$** κατα καιρον] καταχαιρων A† | εν > S*† | υψει post υψωσει tr. S† | 18$^{2}$ ιππου] αυτου S*† || **19$^{2}$** ενεδ. δε] και ενεδ. AV†: cf. 3 12 || **20$^{2}$** δοξαν δε] και(cf. **3** 12) δοξη AV† | τολμην A†, τολμαν V† || **21$^{1}$** πεδιω] ποδι S$^{c}$pl. || **22$^{1}$** συναντ. βελ. ad 21 trahit 𝔐 | βελει] βασιλει BS*Sy$^{txt}$ | 22$^{2}$ απο σιδηρου] σιδηρον AV† || **23** αυτω] + γαρ S | μαχ.] pr. οξυσθενης AV† || **25$^{1}$** λεγει] ερει AV† | **25$^{2}$** συν] pr. και AV† | fin.] + εκπορευεται AVpau. || **27$^{1}$** επι δε] η επι AVLa†: = 𝔐 | σω] pr. τω A | 27$^{2}$ καθ. αυλ. ad 28 trahit 𝔐 || **29$^{2}$** πορρ.] + δε AV†
**40 2$^{1}$** εκκλινει] -νιν S*†, κριν(ε)ις uel sim. S$^{c}$pl. | 2$^{2}$ ελεγχ.] + δε B† | υποκριθ. S*† | αυτω S$^{c}$ || **3** λεγει] ειπεν AV† || **4$^{1}$** ετι > S* | ελ. κυρ.] ελεγχομενος υπο κυριου AVLa† | 4$^{2}$ ουθεν] μηδεν A†



ἐγὼ δὲ τίνα ἀπόκρισιν δῶ πρὸς ταῦτα;
χεῖρα θήσω ἐπὶ στόματί μου·
5 ἅπαξ λελάληκα, ἐπὶ δὲ τῷ δευτέρῳ οὐ προσθήσω.
6 Ἔτι δὲ ὑπολαβὼν ὁ κύριος εἶπεν τῷ Ιωβ ἐκ τοῦ νέφους
7 Μή, ἀλλὰ ζῶσαι ὥσπερ ἀνὴρ τὴν ὀσφύν σου,
ἐρωτήσω δέ σε, σὺ δέ μοι ἀποκρίθητι·
8 μὴ ἀποποιοῦ μου τὸ κρίμα.
οἴει δέ με ἄλλως σοι κεχρηματικέναι ἢ ἵνα ἀναφανῇς δίκαιος;
9 ἢ βραχίων σοί ἐστιν κατὰ τοῦ κυρίου,
ἢ φωνῇ κατ' αὐτὸν βροντᾷς;
10 ἀνάλαβε δὴ ὕψος καὶ δύναμιν,
δόξαν δὲ καὶ τιμὴν ἀμφίεσαι·
11 ἀπόστειλον δὲ ἀγγέλους ὀργῇ,
πᾶν δὲ ὑβριστὴν ταπείνωσον,
12 ὑπερήφανον δὲ σβέσον,
σῆψον δὲ ἀσεβεῖς παραχρῆμα,
13 κρύψον δὲ εἰς γῆν ἔξω ὁμοθυμαδόν,
τὰ δὲ πρόσωπα αὐτῶν ἀτιμίας ἔμπλησον·
14 ὁμολογήσω ἄρα ὅτι δύναται ἡ δεξιά σου σῶσαι. —
15 ἀλλὰ δὴ ἰδοὺ θηρία παρὰ σοί·
χόρτον ἴσα βουσὶν ἐσθίει.
16 ἰδοὺ δὴ ἰσχὺς αὐτοῦ ἐπ' ὀσφύι,
ἡ δὲ δύναμις ἐπ' ὀμφαλοῦ γαστρός·
17 ἔστησεν οὐρὰν ὡς κυπάρισσον,
τὰ δὲ νεῦρα αὐτοῦ συμπέπλεκται·
18 αἱ πλευραὶ αὐτοῦ πλευραὶ χάλκειαι,
ἡ δὲ ῥάχις αὐτοῦ σίδηρος χυτός.
19 τοῦτ' ἔστιν ἀρχὴ πλάσματος κυρίου,

**4$^{3}$** εγω ad 4$^{2}$ trahunt AV† | δε τινα/αποκρ.] tr. AV† | δω] δωσω B || **5** ελαλησα AV† || **6** δε > S† | εκ] δια A†: ex **38** 1 || **7$^{2}$** αποκριναι B†: cf. **38** 3 || **8$^{1}$** μη αποπ.] η αποποιη S$^{c}$mu. | 8$^{2}$ οιει δε] μηδε οιου AV† | η] αλλ AV† | αναφ. δικ.] tr. AV† || **9$^{1}$** η] ει AV† | του κυριου] κυριον AS$^{c}$V†: = 𝔐 | 9$^{2}$ φωνη ... βροντας] φωνη βροντης ... βροντα ισα AV†: βροντα ισα ex βροντᾳς + (10) α | κατ αυτου B† || **10$^{1}$** δη] δε A | υψος και] εις υψος AV† | 10$^{2}$ δε > AV† | αμφιασαι SApl.: cf. Thack. § 6,6 || **11$^{1}$** οργη] εν οργη σου AV† | 11$^{2}$ παν (cf. Iud. 7 4 B)] παντα Apl. || **13$^{1}$** δε] + αυτους AS$^{c}$V† | εξω > BLa† || **14** αρα > BS† | η δεξ./σου] tr. AV† || **15$^{1}$** δη > AV† | ιδου] + δη (sic) B† | θηρ./παρα σοι] tr. AV† | 15$^{2}$ χορτ./ισα βου.] tr. AV† | εσθιουσιν B† || **16$^{1}$** ισχ.] pr. η SA | οσφυι (AV† -υος)] + αυτου AV† (in O sub ※) | 16$^{2}$ δυν. B†] + αυτου rel. (in O sub ※) | fin.] + αυτου AV† || **17$^{1}$** ουραν] + αυτου AV† | ως] ωσπερ AV† | 17$^{2}$ συμπ.] pr. ωσπερ σχοινια AV† || **18$^{1}$** πλευραι χαλκειαι] ως(V† ωσπερ) πετραι χαλκαι(cf. 6 12) AV† | 18$^{2}$ σιδ.] pr. ως A† | σιδ. χυτος] τυχος(= τυκος) σιδηριος Gra.

πεποιημένον ἐγκαταπαίζεσθαι ὑπὸ τῶν ἀγγέλων αὐτοῦ.
20 ἐπελθὼν δὲ ἐπ' ὄρος ἀκρότομον
ἐποίησεν χαρμονὴν τετράποσιν ἐν τῷ ταρτάρῳ·
21 ὑπὸ παντοδαπὰ δένδρα κοιμᾶται
παρὰ πάπυρον καὶ κάλαμον καὶ βούτομον·
22 σκιάζονται δὲ ἐν αὐτῷ δένδρα μεγάλα
σὺν ῥαδάμνοις καὶ κλῶνες ἄγνου.
23 ἐὰν γένηται πλήμμυρα, οὐ μὴ αἰσθηθῇ,
※πέποιθεν ὅτι προσκρούσει ὁ Ιορδάνης εἰς τὸ στόμα αὐτοῦ.
24 ※ἐν τῷ ὀφθαλμῷ αὐτοῦ δέξεται αὐτόν,
※ἐνσκολιευόμενος τρήσει ῥῖνα;↙ —
25 ἄξεις δὲ δράκοντα ἐν ἀγκίστρῳ,
περιθήσεις δὲ φορβεὰν περὶ ῥῖνα αὐτοῦ;
26 ※εἰ δήσεις κρίκον ἐν τῷ μυκτῆρι αὐτοῦ,↙
ψελίῳ δὲ τρυπήσεις τὸ χεῖλος αὐτοῦ;
27 λαλήσει δέ σοι δεήσει,
ἱκετηρίᾳ μαλακῶς;
28 θήσεται δὲ διαθήκην μετὰ σοῦ,
λήμψῃ δὲ αὐτὸν δοῦλον αἰώνιον;
29 παίξῃ δὲ ἐν αὐτῷ ὥσπερ ὀρνέῳ
ἢ δήσεις αὐτὸν ὥσπερ στρουθίον παιδίῳ;
30 ἐνσιτοῦνται δὲ ἐν αὐτῷ ἔθνη,
μεριτεύονται δὲ αὐτὸν Φοινίκων γένη;
31 πᾶν δὲ πλωτὸν συνελθὸν οὐ μὴ ἐνέγκωσιν βύρσαν μίαν οὐρᾶς αὐτοῦ
※καὶ ἐν πλοίοις ἁλιέων κεφαλὴν αὐτοῦ.↙
32 ἐπιθήσεις δὲ αὐτῷ χεῖρα
μνησθεὶς πόλεμον τὸν γινόμενον ἐν σώματι αὐτοῦ,
καὶ μηκέτι γινέσθω.
**41** 1 οὐχ ἑόρακας αὐτὸν
οὐδὲ ἐπὶ τοῖς λεγομένοις τεθαύμακας;
2 οὐ δέδοικας ὅτι ἡτοίμασταί μοι;

19² (εγ)καταπ.] pr. εις το AV† ‖ 21² παπ... καλ.] tr. AV† ‖ 22¹ εν > A pl. | 22² ραμνοις S*†, δαραμνοις (sic) A†, οροδαμνοις pl. | αγνου (cf. Leu. 23 40)] αγρου BS* ‖ 23¹ αισθηται A(εσθ.)V†: cf. Thack. p. 259 ‖ 24² fin.] + αυτου A ‖ 26¹ ει δησεις κρικον] και ειλησεις κλοιον AV† ‖ 27¹ δεησεις AV† | 27²] pr. η S†, pr. και AV† | ικετηριας AV† | μαλακη S*† ‖ 28¹ δε > B† | διαθ./μετα σου BSO†(= 𝔐)] tr. rel. ‖ 29¹ παιξη δε εν] και εμ(uel ν)πεξις A V† | 29² η δησεις] δησ. δε AV† ‖ 30¹ εν αυτω] αυτον AV(†) | 30² μεριουνται S^c | μερ. δε] και μερ. AV†: cf. 3 12 | γενη] εθνη BS ‖ 31¹ ενεγκη AV† | βυρσ. μιαν] tr. AV† ‖ 32¹ επιθησει B† | αυτω] pr. επ SAV† | 32² πολεμου του γιγνομενου A† | σωμ.] pr. τω AV† | 32³ > BS*†
41 1¹ > BS*† ‖ 2¹ ου] ουδε BS | δεδοικας] + αυτον AS^cV† | μοι] σοι A†



τίς γάρ ἐστιν ὁ ἐμοὶ ἀντιστάς;
3 ἢ τίς ἀντιστήσεταί μοι καὶ ὑπομενεῖ,
εἰ πᾶσα ἡ ὑπ' οὐρανὸν ἐμή ἐστιν;
4 ※οὐ σιωπήσομαι δι' αὐτόν,
※καὶ λόγον δυνάμεως ἐλεήσει τὸν ἴσον αὐτοῦ.↙
5 τίς ἀποκαλύψει πρόσωπον ἐνδύσεως αὐτοῦ;
εἰς δὲ πτύξιν θώρακος αὐτοῦ τίς ἂν εἰσέλθοι;
6 πύλας προσώπου αὐτοῦ τίς ἀνοίξει;
κύκλῳ ὀδόντων αὐτοῦ φόβος.
7 τὰ ἔγκατα αὐτοῦ ἀσπίδες χάλκειαι,
σύνδεσμος δὲ αὐτοῦ ὥσπερ σμιρίτης λίθος·
8 ※εἷς τοῦ ἑνὸς κολλῶνται,↙
πνεῦμα δὲ οὐ μὴ διέλθῃ αὐτόν·
9 ※ἀνὴρ τῷ ἀδελφῷ αὐτοῦ προσκολληθήσεται,
※συνέχονται καὶ οὐ μὴ ἀποσπασθῶσιν.↙
10 ἐν πταρμῷ αὐτοῦ ἐπιφαύσκεται φέγγος,
οἱ δὲ ὀφθαλμοὶ αὐτοῦ εἶδος ἑωσφόρου.
11 ἐκ στόματος αὐτοῦ ἐκπορεύονται λαμπάδες καιόμεναι
καὶ διαρριπτοῦνται ἐσχάραι πυρός·
12 ἐκ μυκτήρων αὐτοῦ ἐκπορεύεται καπνὸς
καμίνου καιομένης πυρὶ ἀνθράκων·
13 ἡ ψυχὴ αὐτοῦ ἄνθρακες,
φλὸξ δὲ ἐκ στόματος αὐτοῦ ἐκπορεύεται.
14 ἐν δὲ τραχήλῳ αὐτοῦ αὐλίζεται δύναμις,
ἔμπροσθεν αὐτοῦ τρέχει ἀπώλεια.
15 σάρκες δὲ σώματος αὐτοῦ κεκόλληνται·
※καταχέει ἐπ' αὐτόν, οὐ σαλευθήσεται.↙
16 ἡ καρδία αὐτοῦ πέπηγεν ὡς λίθος,
ἕστηκεν δὲ ὥσπερ ἄκμων ἀνήλατος.
17 στραφέντος δὲ αὐτοῦ φόβος θηρίοις τετράποσιν
ἐπὶ γῆς ἁλλομένοις.
18 ἐὰν συναντήσωσιν αὐτῷ λόγχαι, οὐδὲν μὴ ποιήσωσιν

2² γαρ] δε S*† | ανθισταμενος A† ‖ 3¹ τις] + εστιν ος AV† (2² εστιν ⌒ 3¹ εστιν V†) | 3² ει] η ουχι AV† ‖ 4² λογον BS†] -γος AVLa†, -γω mu., -γοις compl. | αυτου BSA†] -τω rel. ‖ 5¹ τις δε ανακαλυψει AV† ‖ 6¹ πυλας] + δε AS^cV† ‖ 7¹ τα εγκ.] ενκ. δε AV† | χαλκειαι B†] -κεαι C†: cf. 20 20 24 Sir. 28 20 et Thack. § 12, 2; -και rel.: cf. 6 12 | 7² συνδ. δε] δε > B†, και(cf. 3 12) συνδεσμοι AV† | σμιριτος A† ‖ 8¹ του] pr. εκ AV† | 8² διελθη] + δι S*† ‖ 9² αποσπ.] παθωσιν S*† ‖ 10¹ επιφωσκεται AV† ‖ 12² πυρι] φλογι AV† ‖ 14² τρεχει] pr. προ AV† ‖ 15¹ σωμ. > S† ‖ 16¹ ως] ωσπερ A pl. ‖ 17¹ δε > AV† | 17² επι γης/αλλ.] tr. AV† ‖ 18¹ μη] pr. ου AS^cV pl. | ποιησ.] + αυτω AS^cV†

※δόρυ ἐπηρμένον καὶ θώρακα ·↙
19 ἥγηται μὲν γὰρ σίδηρον ἄχυρα,
χαλκὸν δὲ ὥσπερ ξύλον σαθρόν ·
20 οὐ μὴ τρώσῃ αὐτὸν τόξον χάλκειον,
ἥγηται μὲν πετροβόλον χόρτον ·
21 ※ὡς καλάμη ἐλογίσθησαν σφῦραι,↙
καταγελᾷ δὲ σεισμοῦ πυρφόρου.
22 ἡ στρωμνὴ αὐτοῦ ὀβελίσκοι ὀξεῖς,
πᾶς δὲ χρυσὸς θαλάσσης ὑπ' αὐτὸν ὥσπερ πηλὸς ἀμύθητος.
23 ἀναζεῖ τὴν ἄβυσσον ὥσπερ χαλκεῖον,
ἥγηται δὲ τὴν θάλασσαν ὥσπερ ἐξάλειπτρον,
24 τὸν δὲ τάρταρον τῆς ἀβύσσου ὥσπερ αἰχμάλωτον ·
※ἐλογίσατο ἄβυσσον εἰς περίπατον.↙
25 οὐκ ἔστιν οὐδὲν ἐπὶ τῆς γῆς ὅμοιον αὐτῷ
πεποιημένον ἐγκαταπαίζεσθαι ὑπὸ τῶν ἀγγέλων μου ·
26 πᾶν ὑψηλὸν ὁρᾷ,
αὐτὸς δὲ βασιλεὺς πάντων τῶν ἐν τοῖς ὕδασιν.

**42** 1 Ὑπολαβὼν δὲ Ιωβ λέγει τῷ κυρίῳ
2 Οἶδα ὅτι πάντα δύνασαι,
ἀδυνατεῖ δέ σοι οὐθέν.
3 τίς γάρ ἐστιν ὁ κρύπτων σε βουλήν;
φειδόμενος δὲ ῥημάτων καὶ σὲ οἴεται κρύπτειν;
τίς δὲ ἀναγγελεῖ μοι ἃ οὐκ ᾔδειν,
μεγάλα καὶ θαυμαστὰ ἃ οὐκ ἠπιστάμην;
4 ἄκουσον δέ μου, κύριε, ἵνα κἀγὼ λαλήσω ·
ἐρωτήσω δέ σε, σὺ δέ με δίδαξον.
5 ἀκοὴν μὲν ὠτὸς ἤκουόν σου τὸ πρότερον,
νυνὶ δὲ ὁ ὀφθαλμός μου ἑόρακέν σε ·
6 διὸ ἐφαύλισα ἐμαυτὸν καὶ ἐτάκην,
ἥγημαι δὲ ἐμαυτὸν γῆν καὶ σποδόν.
7 Ἐγένετο δὲ μετὰ τὸ λαλῆσαι τὸν κύριον πάντα τὰ ῥήματα ταῦτα τῷ Ιωβ εἶπεν ὁ κύριος Ελιφας τῷ Θαιμανίτῃ
Ἥμαρτες σὺ καὶ οἱ δύο φίλοι σου ·

$18^2$ επηρμ. > BS*AV† | θωραξ AV† || $19^1$ αχυρα] pr. ωσπερ AS^c V† || $20^1$ τοξ. χαλκ. > A† | χαλκεον CV: cf. 7 | $20^2$ μεν] γαρ A†, + γαρ V† | μεν πετρ.] tr. S^c pl. | χορτον] pr. ως ACV† || $21^1$] ως καλαμην ελογισατο σφυραν S La† (S* om. ν ult.), ως καλαμη ελογισθη αυτω σφυρα AV† | σφυραι pl. (etiam corrector posterior codicis S)] -ρα BS*A: cf. sup. || $25^1$ της > A† | $25^2$ μου > S*†

**42** $2^1$ παντα δυν.] tr. ACV† | $2^2$ δε σοι] tr. SV† || $3^1$ > S*† | $3^3$ τις δε αναγγ.] ανη(Vα)γγελη δε AV† | αναγγελλει S† || $4^1$ δε] δη AV† | $4^2$ σε > B†: cf. **38** 3 || $5^1$ ακοην μεν ωτος] εως μεν ωτος ακοης AV† || $6^2$ εμαυτον] pr. εγω B†, + εγω S*† || $7^1$ ταυτα > A† | ελιφας: cf. **2** $11^3$ | $7^2$ δυο > B†



οὐ γὰρ ἐλαλήσατε ἐνώπιόν μου ἀληθὲς οὐδὲν
ὥσπερ ὁ θεράπων μου Ιωβ.
8 νῦν δὲ λάβετε ἑπτὰ μόσχους καὶ ἑπτὰ κριοὺς
καὶ πορεύθητε πρὸς τὸν θεράποντά μου Ιωβ,
καὶ ποιήσει κάρπωσιν περὶ ὑμῶν ·
Ιωβ δὲ ὁ θεράπων μου εὔξεται περὶ ὑμῶν,
※ὅτι εἰ μὴ πρόσωπον αὐτοῦ λήμψομαι ·↙
εἰ μὴ γὰρ δι' αὐτόν, ἀπώλεσα ἂν ὑμᾶς ·
οὐ γὰρ ἐλαλήσατε ἀληθὲς κατὰ τοῦ θεράποντός μου Ιωβ. —
9 ἐπορεύθη δὲ Ελιφας ὁ Θαιμανίτης καὶ Βαλδαδ ὁ Σαυχίτης καὶ Σωφαρ ὁ Μιναῖος
καὶ ἐποίησαν καθὼς συνέταξεν αὐτοῖς ὁ κύριος,
καὶ ἔλυσεν τὴν ἁμαρτίαν αὐτοῖς διὰ Ιωβ.
10 ὁ δὲ κύριος ηὔξησεν τὸν Ιωβ ·
εὐξαμένου δὲ αὐτοῦ καὶ περὶ τῶν φίλων αὐτοῦ ἀφῆκεν αὐτοῖς τὴν ἁμαρτίαν ·
ἔδωκεν δὲ ὁ κύριος διπλᾶ ὅσα ἦν ἔμπροσθεν Ιωβ εἰς διπλασιασμόν.
11 ἤκουσαν δὲ πάντες οἱ ἀδελφοὶ αὐτοῦ καὶ αἱ ἀδελφαὶ αὐτοῦ
πάντα τὰ συμβεβηκότα αὐτῷ
καὶ ἦλθον πρὸς αὐτὸν
καὶ πάντες ὅσοι ᾔδεισαν αὐτὸν ἐκ πρώτου ·
φαγόντες δὲ καὶ πιόντες παρ' αὐτῷ παρεκάλεσαν αὐτόν,
καὶ ἐθαύμασαν ἐπὶ πᾶσιν, οἷς ἐπήγαγεν αὐτῷ ὁ κύριος ·
ἔδωκεν δὲ αὐτῷ ἕκαστος ἀμνάδα μίαν καὶ τετράδραχμον χρυσοῦν ἄσημον.
12 ὁ δὲ κύριος εὐλόγησεν τὰ ἔσχατα Ιωβ ἢ τὰ ἔμπροσθεν ·
ἦν δὲ τὰ κτήνη αὐτοῦ πρόβατα μύρια τετρακισχίλια,
κάμηλοι ἑξακισχίλιαι,
ζεύγη βοῶν χίλια,
ὄνοι θήλειαι νομάδες χίλιαι.
13 γεννῶνται δὲ αὐτῷ υἱοὶ ἑπτὰ καὶ θυγατέρες τρεῖς ·
14 καὶ ἐκάλεσεν τὴν μὲν πρώτην Ἡμέραν,

$8^1$ νυν δε] και νυν AV†: cf. **3** 12 | $8^2$ θεραπ.] παιδα AV†: cf. **1** $8^2$ | $8^3$ καρπωσιν] -πωσεις BSV(-σις)†, -πωμα A† | $8^4$ μου > S*† | $8^6$ ει μη γαρ] και ει μη AV† | $8^7$ αληθες / κατα τ. θ. μου ιωβ] tr. B†; κατα τ. θ. μου ιωβ ουδεν αληθες V†: item nisi αγαθον pro αληθες A† || $9^1$ επορευθησαν AV† | ελιφας: cf. 7 | $9^2$ εποι.] + εαυτοις AV† | αυτοις] -τω S*† | $9^3$ αυτοις] -των S*ACV† || $10^2$ και > AV† | αυτου $2^0$ > BS† | $10^3$ εδωκεν] προσεθηκεν AV†: = 𝔐 | δε > S*† | διπλα — ιωβ] τω ιωβ τα διπλα ων ειχεν εμπροσθεν AV† || $11^4$ και παντες] + δε A† | εκ πρωτου] προ τουτου AV† | $11^6$ κυριος] θεος S*† | $11^7$ εδωκεν δε] και(cf. **3** 12) εδωκαν AV† | χρυσου και ασημου B† || $12^1$ τα εσχ. ιωβ η] τον ιωβ τα εσχατα μαλλον η AV†

τὴν δὲ δευτέραν Κασίαν,
τὴν δὲ τρίτην Ἀμαλθείας κέρας·
15 καὶ οὐχ εὑρέθησαν κατὰ τὰς θυγατέρας Ιωβ βελτίους αὐτῶν ἐν τῇ ὑπ' οὐρανόν·
ἔδωκεν δὲ αὐταῖς ὁ πατὴρ κληρονομίαν ἐν τοῖς ἀδελφοῖς.
16 ἔζησεν δὲ Ιωβ μετὰ τὴν πληγὴν ἔτη ἑκατὸν ἑβδομήκοντα,
τὰ δὲ πάντα ἔζησεν ἔτη διακόσια τεσσαράκοντα ὀκτώ·
※καὶ εἶδεν Ιωβ τοὺς υἱοὺς αὐτοῦ καὶ τοὺς υἱοὺς τῶν υἱῶν αὐτοῦ τετάρτην γενεάν·
17 ※καὶ ἐτελεύτησεν Ιωβ πρεσβύτερος καὶ πλήρης ἡμερῶν.✓
17a γέγραπται δὲ αὐτὸν πάλιν ἀναστήσεσθαι μεθ' ὧν ὁ κύριος ἀνίστησιν.

---

17b Οὗτος ἑρμηνεύεται ἐκ τῆς Συριακῆς βίβλου
ἐν μὲν γῇ κατοικῶν τῇ Αυσίτιδι ἐπὶ τοῖς ὁρίοις τῆς Ιδουμαίας καὶ Ἀραβίας,
προϋπῆρχεν δὲ αὐτῷ ὄνομα Ιωβαβ·
17c λαβὼν δὲ γυναῖκα Ἀράβισσαν γεννᾷ υἱόν, ᾧ ὄνομα Εννων,
ἦν δὲ αὐτὸς πατρὸς μὲν Ζαρε, τῶν Ησαυ υἱῶν υἱός, μητρὸς δὲ Βοσορρας,
ὥστε εἶναι αὐτὸν πέμπτον ἀπὸ Αβρααμ.
17d καὶ οὗτοι οἱ βασιλεῖς οἱ βασιλεύσαντες ἐν Εδωμ, ἧς καὶ αὐτὸς ἦρξεν χώρας·
πρῶτος Βαλακ ὁ τοῦ Βεωρ, καὶ ὄνομα τῇ πόλει αὐτοῦ Δενναβα·
μετὰ δὲ Βαλακ Ιωβαβ ὁ καλούμενος Ιωβ·
μετὰ δὲ τοῦτον Ασομ ὁ ὑπάρχων ἡγεμὼν ἐκ τῆς Θαιμανίτιδος χώρας·
μετὰ δὲ τοῦτον Αδαδ υἱὸς Βαραδ ὁ ἐκκόψας Μαδιαμ ἐν τῷ πεδίῳ Μωαβ, καὶ ὄνομα τῇ πόλει αὐτοῦ Γεθθαιμ.
17e οἱ δὲ ἐλθόντες πρὸς αὐτὸν φίλοι·

14² κασσιαν AV† = *cassiam* La | 14³ αμαλθαιας V, μαλθεας A† || 15¹ τας θυγ. ιωβ] τας ιωβ θυγ. και τους υιους αυτου AV† | εν τη υπ ουρ.] εν τη υπο τον ουρ. SV†, υπο την υπ ουρ. A† | 15² αυταις ο πατηρ] ιωβ ταις θυγατρασιν αυτου AV† | fin.] + αυτων V†, + αυτου A† || 16² εζησεν ετη pau.] tr. BS, ζη ετη AV† | οκτω > BS*† || 17 πρεσβυτης S† || 17a δε > A† | αυτον παλιν] tr. S† | αυτον / παλιν αναστ.] tr. A† | ο κυριος / ανιστ.] tr. AV† || 17b² κατοικων / τη αυσ.] tr. S† || 17c(cf. Gen. 36 33)² ζαρεθ AV† | των] pr. εκ B | ησαυ υιων] tr. ACV† | βοσσορας A || 17d(cf. Gen. 36 31—35)² βεωρ] σεπφωρ AV†



Ελιφας τῶν Ησαυ υἱῶν Θαιμανων βασιλεύς,
Βαλδαδ ὁ Σαυχαίων τύραννος,
Σωφαρ ὁ Μιναίων βασιλεύς.

17e² ελιφας (cf. 7)] + υιος σωφαν A†, + υιος σωφαρ V† | 17e³ βαλδαδ (cf. 2 11¹)] + υιος αμ(μ)νων του χοβαρ AV† | ο σαυχ. τυρ.] του αυχ(ε)ιτου(cf. 18 1) (+ του V†) τυραννου AV† | 17e⁴ fin.] + θαιμαν υιος ελιφαζ(uel -ας) ηγεμων της ιδουμαιας· ουτος ερμηνευεται εκ της συριακης βιβλου εν μεν γη κατοικων τη αυσιτιδι επι των οριων του ευφρατου· προυπηρχεν δε το ονομα αυτου ιωβαβ, ην δε ο πατηρ αυτου ζαρεθ εξ ανατολων ηλιου AV†: cf. 17b.c
Subscr. ιωβ BSA

# ΣΟΦΙΑ ΣΑΛΩΜΩΝΟΣ

1 1 Ἀγαπήσατε δικαιοσύνην, οἱ κρίνοντες τὴν γῆν,
φρονήσατε περὶ τοῦ κυρίου ἐν ἀγαθότητι
καὶ ἐν ἁπλότητι καρδίας ζητήσατε αὐτόν.
2 ὅτι εὑρίσκεται τοῖς μὴ πειράζουσιν αὐτόν,
ἐμφανίζεται δὲ τοῖς μὴ ἀπιστοῦσιν αὐτῷ.
3 σκολιοὶ γὰρ λογισμοὶ χωρίζουσιν ἀπὸ θεοῦ,
δοκιμαζομένη τε ἡ δύναμις ἐλέγχει τοὺς ἄφρονας.
4 ὅτι εἰς κακότεχνον ψυχὴν οὐκ εἰσελεύσεται σοφία
οὐδὲ κατοικήσει ἐν σώματι κατάχρεῳ ἁμαρτίας.
5 ἅγιον γὰρ πνεῦμα παιδείας φεύξεται δόλον
καὶ ἀπαναστήσεται ἀπὸ λογισμῶν ἀσυνέτων
καὶ ἐλεγχθήσεται ἐπελθούσης ἀδικίας.
6 φιλάνθρωπον γὰρ πνεῦμα σοφία
καὶ οὐκ ἀθῳώσει βλάσφημον ἀπὸ χειλέων αὐτοῦ·
ὅτι τῶν νεφρῶν αὐτοῦ μάρτυς ὁ θεὸς
καὶ τῆς καρδίας αὐτοῦ ἐπίσκοπος ἀληθὴς
καὶ τῆς γλώσσης ἀκουστής.
7 ὅτι πνεῦμα κυρίου πεπλήρωκεν τὴν οἰκουμένην,
καὶ τὸ συνέχον τὰ πάντα γνῶσιν ἔχει φωνῆς.
8 διὰ τοῦτο φθεγγόμενος ἄδικα οὐδεὶς μὴ λάθῃ,
οὐδὲ μὴ παροδεύσῃ αὐτὸν ἐλέγχουσα ἡ δίκη.
9 ἐν γὰρ διαβουλίοις ἀσεβοῦς ἐξέτασις ἔσται,

Sap.: BSA. — Fr. = Libri apocryphi V. T. graece ed. Fritzsche (Lips. 1871).
Inscr. σαλωμωνος B*†] -μων Bc†, σαλομωντος S†, σολομωντος A: cf. subscr. et Regn. III 1 10
1 3² τε] δε S || 5¹ παιδ.] σοφιας A || 6¹ σοφιας A | 6⁵ γλωσσης] + αυτου A || 7¹ επληρωσεν A || 8² μη] μην B†